ὑποσχέσεσιν εἰς ἑαυτοὺς ἕλκουσι καὶ συμπράκτορας τῶν
promises to themselves draw and fellow-agents of-the
ἔργων ποιοῦσι. καὶ δὴ συμμαχίαν τοσαύτην ἔκ τε
deeds make and indeed alliance so-great from both
Σκυθῶν καὶ Βουλγάρων συνηθροικότες οἱ Ἰταλοὶ ὁμόσε
Scythians and Bulgarians having-gathered the Italians together
κατὰ τοῦ βασιλέως Ἰωάννου χωροῦσιν. ἐπεὶ δὲ σφίσιν
against the emperor John go when and for-them
ἐκ τοῦ σχεδὸν τὸ τῆς Τζουρουλοῦ ἄστυ ἐτύγχανε, κατ᾽
from the near the — of-Tzouroulos town happened against
ἐκείνου τὴν μάχην ἱστῶσι, παρόντος αὐτοπροσώπως καὶ
that(-town) the battle they-set present in-person also
τοῦ Ἀσὰν μετὰ τοσούτων χιλιοστύων τῶν Σκυθικῶν
— Asan with so-many thousands of-the Scythian
καὶ τῶν Βουλγαρικῶν στρατευμάτων καὶ τῶν Ἰταλικῶν
and of-the Bulgarian armies and of-the Italian
μηχανημάτων. ἦν δὲ τῆς Τζουρουλοῦ τὴν φρουρὰν παρὰ
engines was and — of-Tzouroulos the garrison from
τοῦ βασιλέως Ἰωάννου προσδεδεγμένος ὁ Ταρχανειώτης
the emperor John having-received — Tarchaneiotes
Νικηφόρος, ὃς ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως ὑπῆρχε
Nikephoros who over the table of-the emperor was
τότε, μέγας δὲ δομέστικος τετίμηται ὕστερον· γαμβρὸς
then great and domestic was-honored later son-in-law

δὲ ἦν τοῦ μεγάλου δομεστίκου τοῦ Παλαιολόγου ἐπὶ
and he-was of-the great domestic — of-Palaiologos by
τῇ πρώτῃ αὐτοῦ θυγατρὶ Μαρίᾳ. ἦν δὲ ὁ Ταρχανειώτης
the first his daughter Maria was and — Tarchaneiotes
καὶ στρατιώτης καλὸς καὶ ἀγαθὸς στρατηγὸς καὶ πολλῆς
both soldier fine and good general and much
ἐπαπολαύων τῆς παρὰ θεοῦ ἀντιλήψεως, καθὼς καὶ
enjoying of-the from God help as also
μέχρι τέλους ἐπέγνωσται· μάλιστα καὶ γὰρ ἐδόκει τοῖς
up-to end has-been-recognized especially also for he-seemed to-the
πολλοῖς εὐτυχίᾳ κατορθούμενος τὰ πολλὰ ἢ εὐανδρίᾳ
many by-good-fortune succeeding the most than by-manliness
καὶ στρατηγίᾳ τῶν ἐναντίων περιγενόμενος. ἐπεὶ δὲ τῷ
and generalship the opponents overcoming when and by-the
ἄστει παρεκαθίσαντο, — μηχανήματα μὲν καὶ ἑλεπόλεις
town they-sat-down engines indeed and siege-engines
τοῖς Ἰταλοῖς ἐγεγόνεισαν πολλαί τε καὶ ἰσχυραί, ὡς
to-the Italians had-been-made many both and strong so-as
μὴ μόνον τηλικοῦδε ἄστεος περιγενέσθαι ἰσχύουσαι ἀλλὰ
not only so-great town to-overcome being-strong but
καὶ ὑψηλοτέρων τειχῶν καὶ εὐμεγεθεστέρων πόλεων,
also of-higher walls and of-larger cities
— τότε τὸ γενναῖον φρόνημα καὶ τὴν στρατηγικὴν
then the noble spirit and the strategic
μεθοδείαν μετὰ τῶν σὺν αὐτῷ ὁ ἐπὶ τῆς τραπέζης
method with the(-ones) with him the(-one) over the table
λαμπρῶς ἐνεδείξατο· ἦν δὲ τὸ ὅλον τῆς τοῦ θεοῦ
brilliantly displayed was and the whole of-the — of-God
ἀντιλήψεως. ἀντεμηχανᾶτο γὰρ ἔνδον ὁ Ταρχανειώτης
help counter-contrived for within — Tarchaneiotes
τοῖς ἔξωθεν μηχανήμασι, καὶ τῇ τοσαύτῃ πληθύϊ τῆς
to-the outside engines and to-the so-great multitude of-the

στρατιᾶς ἀντεπεξῆγε τὸ ἀνδρικὸν ἐν πολλοστοῖς ἄγαν τοῖς
army led-out-against the manliness in very-few very the
στρατιώταις. ἐν ἀμηχανίᾳ δὲ ἦν ὁ βασιλεὺς Ἰωάννης, οὐ
soldiers in helplessness and was the emperor John not
τοσοῦτον τῶν ἐν τῷ ἄστει ὑπεραγωνιῶν, ἀλλ᾽ εἰδώς,
so-much for-the(-ones) in the town agonizing but knowing
οἷα ἐχέφρων καὶ συνετὸς τὰ πολέμια, ὡς εἰ τὸ ἄστυ
as sensible and intelligent the(-things) of-war that if the town
παρὰ τῶν ἐναντίων ἁλῴη, φροῦδα πάντα τὰ ἐν
by the opponents should-be-taken gone all the(-things) in
τῇ δύσει τούτῳ τυγχάνοντα γένοιντο. τέως οὖν ἠγάπα
the west to-him being would-become meanwhile then he-was-content
μᾶλλον ἐν τούτῳ ἐπτοῆσθαι τοὺς πολεμίους καὶ τὸ πολὺ
rather in this to-be-frightened the enemies and the much
τῆς ῥύμης σφίσιν ἐναποκόπτεσθαι· ἔμελε γὰρ αὐτῷ
of-the onrush for-them to-be-cut-off was-a-care for to-him
μᾶλλον τὰ ἐν τῇ ἕῳ, ὧν ἐλευθέρων ὑπαρχόντων
rather the(-things) in the east which free being
τῆς μάχης πλεῖον αὐτῷ τὸ τῆς εὐφροσύνης ὑπῆν.
from-the battle more to-him the of-the gladness was-beneath
Πολιορκουμένου γοῦν τοῦ ἄστεος Τζουρουλοῦ αἴφνης ἐπῄει
being-besieged then the town Tzouroulos suddenly came
μήνυμα τῷ Ἀσάν, ὡς ἡ σύζυγος αὐτοῦ ἡ ἐξ Οὔγγρων
message — to-Asan that the wife his the from Hungarians
ἐξ ἀνθρώπων ἐγένετο· τετελεύτηκε δὲ κατὰ ταὐτὸ
from men became had-died and at the-same(-time)
καὶ παιδίον αὐτοῦ καὶ ὁ Τρινόβου ἐπίσκοπος. θεομηνίαν
also child his and the of-Trnovo bishop God's-wrath
γοῦν ἡγησάμενος ταῦτα πυρὶ ἀφανίζει τὰς ἑλεπόλεις,
then having-considered these-things with-fire destroys the siege-engines
καὶ ὡς εἶχε δρόμου περὶ τὸν Τρίνοβον ἵκετο. μόνοι
and as he-had of-running to — Trnovo came alone

γοῦν ἀπολελειμμένοι οἱ Ἰταλοί, ἐπεὶ μὴ ἀποχρώντως
then left-behind the Italians since not sufficiently
εἶχον εἰς τὴν τοῦ ἄστεος πολιόρκησιν, κἀκεῖνοι τὴν
they-were for the of-the town siege they-too the
κατ᾽ αὐτῶν μάχην καταλελοιπότες ἐς τὴν Κωνσταντίνου
against them battle having-abandoned to the of-Constantine
ᾤχοντο. ἠλευθέρωτο γοῦν τὸ ἄστυ τῆς τῶν ἐναντίων
went had-been-freed then the town from-the of-the opponents
πολιορκίας, καὶ συνηλευθέρωτο καὶ ὁ ἐπὶ τῆς τραπέζης
siege and had-been-freed-with also the(-one) over the table
Ταρχανειώτης, νικηφόρος, ἐν τούτοις κατὰ τὴν κλῆσιν
Tarchaneiotes victory-bearer in these according-to the name
ἀναφανείς. ὁ μὲν οὖν Ἀσάν, ἐπειδὴ τούτῳ τὰ προρρηθέντα
having-appeared — indeed then Asan since to-him the aforesaid
ξυμβέβηκε λυπηρά, εὐσεβῶς καὶ μάλα οἰηθείς, ὡς
had-happened grievous(-things) piously and very having-thought that
διὰ τὰς παραβασίας τῶν ὅρκων, ὧν μετὰ τοῦ βασιλέως
through the transgressions of-the oaths which with the emperor
Ἰωάννου ξυνέθετο, καὶ τὸ ἀποσπάσαι τὴν θυγατέρα τοῦ
John he-had-made and the to-tear-away the daughter from-the
συζύγου Θεοδώρου ταυτὶ γένοιτο, μετάμελος ἐπὶ τούτοις
husband Theodore these-things should-have-come repentant upon these
γενόμενος πρέσβεις ἐξαπεστάλκει πρὸς τὸν βασιλέα, ἑαυτόν
having-become envoys had-sent-out to the emperor himself
τε ἐξουθενῶν τῆς κακίστης πράξεως καὶ τὰς συνθήκας
both despising for-the most-wicked deed and the agreements
ἀνακαλούμενος καὶ συγγνώμην τῶν πεπραγμένων
recalling and pardon for-the(-things) done
αἰτούμενος. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης καὶ ἡ βασιλὶς
asking the indeed then emperor John and the empress
Εἰρήνη, οἷα ἐκεῖνοι πρὸς τὰ εὐσεβέστερα καὶ θειότερα
Irene as those(-two) to the more-pious(-things) and more-divine

ἀπονεύοντες, δέχονταί τε τὴν πρεσβείαν, καὶ οὐδ' εἰς
inclining receive both the embassy and not-even into
μακροὺς ἐλθόντες λόγους τούς τε ὅρκους καὶ αὖθις πεδοῦσι
long having-come words the both oaths and again fasten
καὶ τὴν νύμφην Ἑλένην ἀνακαλοῦνται. ἀποστέλλεται γοῦν
and the bride Helen recall is-sent then
αὕτη πρός τε τὸν πενθερὸν καὶ τὸν σύζυγον, καὶ εἰρήνη
she to both the father-in-law and the husband and peace
πάλιν μέσον Ῥωμαίων τε καὶ Βουλγάρων.
again between Romans both and Bulgarians

VII · LOSSES AND GAINS

Baldwin II brings a Frankish army through Bulgaria and takes Tzouroulos. John's fleet is beaten under Jofré. Asan marries Theodore Angelos' daughter Irene, and the blinded Theodore recovers Thessalonica for his son John. The empress Irene and Asan die. John wins Theodore over, besieges Thessalonica, and makes its John renounce the imperial title; Germanos the patriarch dies.

37 Ὁ μὲν οὖν τῆς ἱστορίας δρόμος ἐφ' ἑτέραν τρέπεται
the indeed then of-the history course to another turns
τὴν ὁδὸν καὶ τὰ περὶ τῶν ἐν τῇ Κωνσταντίνου
the road and the(-things) about the(-ones) in the of-Constantine
διασαφήσει· πολυσχιδῶς γὰρ τότε τῶν πραγμάτων
will-make-clear in-many-ways for then the affairs
κεκινημένων διὰ τὸ πολυαρχίαν ἐν πᾶσι γενέσθαι,
having-been-moved because-of the many-rule in all to-have-arisen
ποικίλως δεῖ καὶ τὰ τοῦ λόγου συστρέφεσθαι.
variously it-is-necessary also the(-things) of-the account to-be-twisted-together
ὁ μὲν οὖν Βαλδουῖνος, ὃν ὁ λόγος βασιλεῦσαι τῆς
— indeed then Baldwin whom the account to-have-reigned of-the

Κωνσταντίνου προείρηκεν, ἀπειρηκὼς ἐν ταῖς πρὸς
of-Constantine has-said-before having-given-up in the against
Ῥωμαίους μάχαις, μᾶλλον δὲ τῇ πρὸς τὸν βασιλέα
Romans battles rather and in-the against the emperor
Ἰωάννην ἐναντιότητι — ἐς μικρὸν γὰρ τὰ ἐκείνου
John opposition to little for the(-affairs) of-that(-man)
παρὰ τούτου συνέσταλται — πρὸς τὸν τῶν Φράγγων
by this(-man) has-been-contracted to the of-the Franks
ἀποδεδημήκει ῥῆγα, προσῳκειωμένον τούτῳ καθ᾽ αἷμα,
had-traveled king related to-this(-man) by blood
οὐ μὴν ἀλλὰ καὶ ὡς ξυμφυλέτην ἄγαν τε Ῥωμαίοις
not however but also as fellow-tribesman very both to-Romans
ἐχθρὸν καὶ βοηθεῖν διὰ ταῦτα ἕτοιμον. καὶ συμμαχίαν
hostile and to-help because-of these-things ready and alliance
ζητεῖ ἀξιόλογον, καὶ ἐπιτυγχάνει τοῦ σκοποῦ. καὶ ἐν οὐ
seeks considerable and attains the aim and in not
πολλῷ χρόνῳ ἑξήκοντα χιλιάδες συνηθροίσθησαν Φράγγων,
much time sixty thousands were-gathered of-Franks
ἵν᾽ ὅπως κατὰ Ῥωμαίων χωρήσωσιν. ἐπεὶ δὲ οὐκ
in-order that against Romans they-might-go since and not
ἦν αὐτοῖς εὔδρομος διὰ νηῶν ἡ ὁδός, τῆς ἀναγωγῆς
was for-them easy through ships the road the putting-to-sea
προσαπαιτούσης πλείω ἢ κατὰ δύναμιν τὸν μισθόν,
demanding more than according-to power the pay
διὰ τῆς χέρσου τὴν πορείαν ποιοῦνται. καὶ δὴ τὰς ἄνω
through the dry-land the march they-make and indeed the upper
παραμείψαντες Γαλλίας καὶ διελθόντες τὴν Ἰταλίαν διὰ
having-passed Gauls and having-gone-through — Italy through
τῶν ὑπωρειῶν τῶν Ἄλπεων εἰς τὸ Ὀστρίκιον ἀφίκοντο,
the foothills — of-Alps to — Austria arrived
καὶ τὴν Οὐγγρίαν παραγγείλαντες διαπερῶσι τὸν Ἴστρον
and — Hungary having-passed cross — Istros

καὶ τῇ Βουλγάρων προσέσχον, πᾶσι μὲν ὡς φίλοις
and to-the of-Bulgarians put-in to-all indeed as friends
καὶ συγγενέσι καθ' ὁδὸν χρώμενοι· καὶ διὰ σφᾶς μὲν
and kinsmen on way treating and because-of them indeed
αὐτούς, οὐχ ἧττον δὲ καὶ διὰ τὴν πρὸς ἡμᾶς ἔχθραν
themselves not less and also because-of the toward us enmity
ἐφιλοφρονοῦντο παρὰ τῶν κατὰ τόπους κρατούντων τὰ
were-welcomed by the(-ones) in places ruling the
μάλιστα. οἱ μὲν οὖν Βούλγαροι τὰς μετὰ Ῥωμαίων σπονδὰς
most the indeed then Bulgarians the with Romans treaties
παρεωρακότες ἄδειαν τοῖς Φράγγοις δεδώκασι διὰ τῶν
having-disregarded leave to-the Franks have-given through the
ὀρῶν αὐτῶν διελθεῖν, τῷ δοκεῖν ὑπ' αὐτῶν βιασθέντες
mountains their to-go-through in-the seeming by them having-been-forced
τὴν ἐκβολήν. τὸ μὲν οὖν ἄστυ τῆς Τζουρουλοῦ καὶ αὖθις
the passage the indeed then town — of-Tzouroulos also again
ἑάλω, ἐκστρατευσάντων κατ' αὐτῶν τῶν Λατίνων καὶ
was-taken having-marched-out against them the Latins and
συμμαχούντων τούτοις καὶ τῶν Σκυθῶν. εἰς φυλακὴν δὲ
allying with-them also the Scythians for guarding and
ἦν τούτου ὁ Πετραλίφας Ἰωάννης, ὃς μέγας χαρτουλάριος
was of-it — Petraliphas John who great chartoularios
πρὸς τοῦ βασιλέως Ἰωάννου τετίμητο, ἀνὴρ γενναῖος
by the emperor John had-been-honored man noble
τὴν χεῖρα καὶ πολεμικοῖς πράγμασι κατεξητασμένος
the hand and in-warlike affairs tested
παιδόθεν. τὸ δὲ τῆς Λατινικῆς δυνάμεως περιὸν καὶ τὸ
from-childhood the but of-the Latin power superiority and the
ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὸ τῶν ἑλεπόλεων συχνόν
boundless-multitude of-the Scythians and the of-the siege-engines numerous
τε καὶ καρτερὸν παραδοῦναι τοῦτον τὸ ἄστυ τοῖς Ἰταλοῖς
both and strong to-hand-over this(-man) the town to-the Italians

πεποιήκεσαν. φασὶ δέ τινες καὶ προδοσίαν μελετῆσαί
had-made say and some also treason to-have-plotted
τινας κρύφα, κἀντεῦθεν πτοηθῆναι τὸ ἀπρόοπτον
some secretly and-thence to-have-been-terrified-at the unforeseen
τῆς ἁλώσεως. οἱ μὲν οὖν Λατῖνοι τὴν Τζουρουλὸν
of-the capture the indeed then Latins — Tzouroulos
ἐχειρώσαντο, καὶ τοὺς ἐν ταύτῃ Ῥωμαίους συνάμα τῷ
subdued and the in it Romans together-with —
Πετραλίφᾳ δεσμώτας ἤγαγον εἰς τὴν Κωνσταντίνου, καὶ
Petraliphas as-prisoners led to the of-Constantine and
πρὸς τοὺς οἰκείους αὐτοὺς ἀπημπόλησαν.
to the own(-people) them sold
Τοῦ δὲ ἄστεος τῆς Τζουρουλοῦ πολιορκουμένου παρὰ
the and town — of-Tzouroulos being-besieged by
τῶν Ἰταλῶν, ὁ βασιλεὺς Ἰωάννης τριήρεις ἱκανὰς
the Italians the emperor John triremes sufficient
συσκευασάμενος καὶ στράτευμα οὐκ ὀλίγον μεθ' ἑαυτοῦ
having-equipped and army not small with himself
προσλαβὼν κατὰ τῶν Ἰταλῶν ἐπεχείρει. ἀπὸ μὲν οὖν
having-taken against the Italians attempted from indeed then
τῆς Νικομηδείας ἀπάρας καὶ παραμείψας τὸν Χάρακα
— Nicomedia having-set-out and having-passed — Charax
ἐπόρθησε τὴν Δακίβυζαν πρὸ καιροῦ καὶ κατέσχε ταύτην,
sacked — Dakibyza before time and held it
προσέτι δὲ καὶ τὸ τοῦ Νικητιάτου φρούριον, καὶ ὑφ'
besides and also the — of-Niketiates fortress and under
ἑαυτὸν καὶ τοῦτο πεποίηκεν. ἐδυστύχησε δὲ τῷ τότε
himself also this made was-unfortunate and at-the then(-time)
ἐν ταῖς τριήρεσιν, ἀπειροπολέμων ὄντων τῶν ἐν
in the triremes inexperienced-in-war being of-the(-ones) in
αὐταῖς μαχομένων καὶ τοῦ Ἰοφρὲ τοῦ Ἀρμενίου, εἰς τάξιν
them fighting and — of-Jofré the Armenian in rank

ἡγεμόνος ἐν τούτοις τυγχάνοντος καὶ ὀκνηρότερον τελοῦντος
of-commander in these happening and more-sluggishly performing
περὶ τὰ μάχιμα. προϋπῆρχε δὲ τὴν τῶν τριήρεων
about the(-things) of-fighting previously-held and the of-the triremes
στρατηγίαν ὁ Κοντοφρὲ Μανουὴλ περιεζωσμένος, ἀνὴρ
command — Kontophre Manuel having-been-girded man
γενναῖος τὴν χεῖρα καὶ Ἄρην πνέων κατά τε θάλατταν
noble the hand and Ares breathing by both sea
καὶ ξηράν. ἀλλὰ πρό τινων ἡμερῶν θρασυτέρας τὰς
and land but before some days bolder the
διαλέξεις περὶ τοῦ ναυτικοῦ πρὸς τὸν βασιλέα ποιησάμενος
conversations about the navy to the emperor having-made
— εἰρήκει καὶ γὰρ ὡς οὐκ ἂν ἀντωπήσαιεν ταῖς Ἰταλικαῖς
had-said also for that not — would-face the Italian
τριήρεσιν αἱ ἡμέτεραι, κἂν πολλαπλασιάζοιντο πρὸς αὐτάς,
triremes the ours even-if they-should-be-multiplied against them
ἀκριβῶς τὰ περὶ ἀμφοῖν ἐπιστάμενος — παρεστάλη
exactly the(-things) about both understanding was-removed
τῆς ἡγεμονίας, καὶ ὁ Ἰοφρὲ αὐτὴν διεδέξατο, καὶ ἡττήθη
from-the command and — Jofré it succeeded-to and was-defeated
ἧττταν σφόδρα δεινήν. τριάκοντα γὰρ ἐξάρχων τριήρεων ὑπὸ
defeat very terrible thirty for leading triremes by
τρισκαίδεκα ἐκνενίκηται, καὶ τοσαύτας ἀπώλεσεν ὁπόσαι
thirteen has-been-conquered and so-many lost as-many-as
ἦσαν τῶν ἐναντίων· ἑκάστη γὰρ τούτων μίαν ἐκέρδησε
were of-the opponents each for of-these one gained
λάφυρον αὐτοῖς ἀνδράσι καὶ ὅπλοις. καὶ ταῦτα μὲν
spoil themselves with-men and with-arms and these-things indeed
ἔσχεν οὕτως. ὁ δὲ βασιλεὺς Ἰωάννης καὶ αὖθις μετὰ τοῦ
had so the and emperor John also again with the
βασιλέως Ἀσὰν εἰρήνην εἶχε, καὶ τῇ συγγενείᾳ καὶ ἄμφω
king Asan peace had and by-the kinship also both

συνεδέδεντο, οὐκ ἀκριβῶς μὲν τοῦ Ἀσὰν τὰς ἐνόρκους
had-been-bound not exactly indeed — of-Asan the sworn
συμφωνίας φυλάττοντος· ἔστι γὰρ ὅτε διὰ κέρδος μικρὸν
agreements keeping there-is for when for gain small
παρεσπόνδει. τέως οὖν ἐν τῷ φανερῷ καὶ πλατυκῶς
he-broke-treaty meanwhile then in the open and broadly
ἔστεργε τὴν ἀγάπην καὶ τὰ τῶν φίλων ἐποίει.
he-cherished the love and the(-things) of-the friends did
Ὁ μὲν οὖν Ἀσὰν Ἰωάννης τῆς συζύγου στερηθείς, 38
— indeed then Asan John of-the wife having-been-deprived
ἣν ἐξ Οὐγγρίας εἶναι ὁ λόγος φθάσας ἱστόρησεν,
whom from Hungary to-be the account anticipating narrated
ἠγάγετο εἰς γυναῖκα τὴν θυγατέρα τοῦ Ἀγγέλου Θεοδώρου
took as wife the daughter — of-Angelos Theodore
τὴν Εἰρήνην, καλὴν τὸ εἶδος καὶ εὐμεγέθη, μηδὲ τὸ
— Irene fair the form and well-grown not-even the
τοῦ αὐταδέλφου τοῦ πατρὸς αὐτῆς κῆδος ὑπιδών,
of-the own-brother of-the father her marriage-alliance having-regarded
ὅτιπερ τῇ ἐκ παλλακίδος αὐτοῦ θυγατρὶ συνηυνάζετο.
that-indeed with-the from concubine his daughter slept
ἦσαν δὲ τῷ Ἀγγέλῳ Θεοδώρῳ παῖδες ἄρρενες δύο,
were and — to-Angelos Theodore children male two
Ἰωάννης καὶ Δημήτριος, καὶ θήλειαι δύο, ἡ Ἄννα καὶ ἡ
John and Demetrios and female two — Anna and the
ῥηθεῖσα Εἰρήνη, μεθ' ἧς ὁ Ἀσὰν παῖδας γεγέννηκε τρεῖς,
said Irene with whom — Asan children begot three
τὸν Μιχαήλ, τὴν Θεοδώραν καὶ τὴν Μαρίαν. ἀπελύθη γοῦν
— Michael — Theodora and — Maria was-released then
τῶν δεσμῶν διά τοι τοῦτο καὶ ὁ Ἄγγελος Θεόδωρος,
from-the bonds because-of indeed this also — Angelos Theodore
καὶ συναινέσει τοῦ γαμβροῦ αὐτοῦ τοῦ Ἀσὰν ἐγκρατὴς
and with-consent of-the son-in-law his — of-Asan master

γενέσθαι τῆς Θεσσαλονίκης καὶ πάσης ἧς πρότερον ἦρχε
to-become — of-Thessalonica and of-all which before he-ruled
χώρας ἠθέλησε. καὶ δή τινας ὀλίγους παρὰ τοῦ Ἀσὰν
land wished and indeed some few from — Asan
προσλαβόμενος, ἐπεὶ φανερῶς κινῆσαι κατὰ τοῦ Μανουὴλ
having-taken-in-addition since openly to-move against — Manuel
τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἠδύνατο, κρύφα μηχανᾶται τὴν εἰς
the brother his not he-could secretly contrives the into
Θεσσαλονίκην εἴσοδον, εὐτελῆ τινα ἀμφιασάμενος ῥάκια καὶ
Thessalonica entry cheap some having-put-on rags and
τὴν εἴσοδον ὑποκλέψας τῆς πόλεως. ἐπεὶ δὲ εἰσήει καί
the entry having-stolen of-the city when and he-was-entering also
τισιν ἐπεγνώσθη τοῖς οἷς ἐβούλετο, οὓς ὅτε εὐτύχει
by-some was-recognized by-the(-ones) whom he-wished whom when he-prospered
ἐφίλει τε καὶ εὐηργέτει, μεθ' ὧν καὶ τεθάρρηκε τὴν κατὰ
he-loved both and benefited with whom also he-dared the against
τοῦ ἀδελφοῦ σκῆψιν, οὐ πολλοῦ δεηθεὶς τοῦ χρόνου
the brother onset not much having-needed the time
ἐγκρατής τε αὖθις τῆς Θεσσαλονίκης ἐγένετο καὶ τῶν πέριξ
master both again — of-Thessalonica became and of-the around
πόλεων καὶ χωρῶν. βασιλεὺς δὲ ὀνομάζεσθαι οὐκ ἠθέλησε
cities and lands emperor but to-be-named not he-wished
διὰ τὸ τῶν ὀφθαλμῶν πάθος, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάννην
because-of the of-the eyes affliction the but son his John
βασιλέα ὠνόμασε καὶ ἐρυθροῖς πεδίλοις τοὺς πόδας ἐκείνου
emperor named and with-red sandals the feet of-that(-man)
ὑπέδησε καὶ τοιούτοις γράμμασιν ὑπογράφειν διώρισεν,
shod and with-such letters to-sign appointed
αὐτόν τε διέπειν τὰ κοινὰ καὶ διεξάγειν τὰ τοῦ
himself both to-manage the common(-affairs) and to-conduct the(-affairs) of-the
υἱοῦ. τὸν δ' ἀδελφὸν Μανουὴλ τῆς ἀρχῆς ἐκβαλὼν
son the and brother Manuel from-the rule having-cast-out

καὶ ἐμβαλὼν ἔν τινι τριήρει περὶ τὴν Ἀττάλου ἐξώρισε,
and having-put in a trireme to the of-Attalos exiled
τὴν δὲ σύζυγον αὐτοῦ πρὸς τὸν πατέρα Ἀσὰν ἐξέπεμψεν.
the and wife his to the father Asan sent-away
ὁ δ' Ἀσὰν τὸν πενθερὸν μᾶλλον ἐφίλει Θεόδωρον ἢ τὸν
— and Asan the father-in-law rather loved Theodore than the
γαμβρὸν αὐτοῦ Μανουήλ· ὑπερηγάπα γὰρ τὴν σύζυγον
son-in-law his Manuel he-loved-exceedingly for the wife
Εἰρήνην οὐχ ἧττον ἢ Ἀντώνιος τὴν Κλεοπάτραν.
Irene not less than Antony — Cleopatra
Ὁ μὲν οὖν Μανουὴλ τῇ Ἀττάλου προσοκείλας
— indeed then Manuel at-the of-Attalos having-put-in
παρὰ προσδοκίαν τοὺς ἐξ Ἄγαρ εὗρε φιλανθρωπίᾳ
beyond expectation the(-ones) from Hagar found with-humanity
μᾶλλον πρὸς αὐτὸν χρησαμένους· ἐπεὶ γὰρ εἰρήκει
rather toward him having-dealt when for he-had-said
πρὸς τὸν βασιλέα Ἰωάννην τυγχάνειν αὐτοῦ τὴν ὁρμήν,
to the emperor John to-be-aiming his the impulse
παρεχώρησάν τε τούτῳ τὴν δίοδον καὶ ∗∗∗ ἐφοδιασάμενοι
they-granted both to-him the passage and (lacuna) having-provisioned
προσηκόντως. ἐκεῖθεν οὖν πρὸς τὸν βασιλέα ἀφίκετο
fittingly thence then to the emperor arrived
οὗτος, καὶ ὁ βασιλεὺς ἀσμένως τε τοῦτον ἐδέξατο καὶ
this(-man) and the emperor gladly both him received and
ὡς προσῳκειωμένον τῷ γένει καὶ ὡς πάλαι δεσπότην
as related to-the family and as long-ago despot
ὠνομασμένον· δοὺς δὲ αὐτῷ χρῆμα καὶ τριήρεις
named having-given and to-him money and triremes
ἓξ περὶ Μεγάλην Βλαχίαν ἀφῆκεν, ὅρκους παρ' αὐτοῦ
six to Great Vlachia he-let-go oaths from him
λαβὼν φρικώδεις, οἷος ἐκεῖνος συνέσεως καὶ ἀγχινοίας
having-taken awful as that(-man) of-understanding and of-shrewdness

πλήρης ὤν. καταλαβὼν οὖν τὸν τῆς Δημητριάδος χῶρον
full being having-reached then the — of-Demetrias region
ὁ Μανουὴλ κἀκεῖθεν τοῖς μὲν τῶν οἰκείων γραφαῖς
— Manuel and-thence to-the(-ones) indeed of-the own(-people) by-letters
παρασημήνας τὴν αὐτοῦ ἔφοδον, τοὺς δὲ ὑποθέλξας ταῖς
having-signified the his approach the(-others) and having-charmed with-the
ὑποσχέσεσιν, οὐ διὰ πολλῶν συνηθροίκει τῶν ἡμερῶν περὶ
promises not in many had-gathered the days about
αὐτὸν στράτευμα, ἦρξέ τε Φαρσάλων καὶ Λαρίσσης καὶ
him army ruled both Pharsala and Larissa and
Πλαταμῶνος καὶ τῶν περὶ αὐτά. εἶτα δὴ σπονδὰς
Platamon and of-the(-places) about them then indeed treaty
ποιησάμενος συνῆλθε τούτου τοῖν ἀδελφοῖν τῷ τε
having-made came-together of-this(-man) with-the-two brothers — both
Κωνσταντίνῳ καὶ τῷ Θεοδώρῳ· ὁ μὲν γὰρ Κωνσταντῖνος
Constantine and — Theodore — indeed for Constantine
δεσπότης, ὡς ἔφημεν, ὧν ἦρχεν ὧν εἰρήκειμεν ἄρχειν, ὁ δὲ
despot as we-said being ruled what we-had-said to-rule — and
Θεόδωρος ἦν ὁ τοῦ φημιζομένου ἐν Θεσσαλονίκῃ Ἰωάννου
Theodore was the of-the acclaimed in Thessalonica John
πατήρ. ἐπεὶ δὲ συνῆεσαν, πείθουσι καὶ ἄμφω τὼ ἀδελφὼ
father when and they-came-together persuade also both the two-brothers
τὸν Μανουὴλ τῶν σπονδῶν ἐκστῆναι τῶν πρὸς τὸν
— Manuel from-the treaties to-stand-away the(-ones) toward the
βασιλέα Ἰωάννην. ὁ δὲ ἑκὼν ἀέκων, ὡς ἔφασκον οἱ
emperor John he and willing unwilling as said the(-ones)
παρατυχόντες καὶ περὶ τῶν τοιούτων εἰδότες, συνήνεσεν
happening-by and about the such(-things) knowing agreed
αὐτῶν τοῖς βουλεύμασι· καὶ τὸ ἀπὸ τοῦδε ὑπῆρχον
their with-the counsels and the from this(-time) were
συνδεδεμένοι, ταῖς σφετέραις χώραις ταῖς μεμερισμέναις
bound with-the own lands the(-ones) divided

αὐτοῖς ἀρκούμενοι, καὶ μετὰ τῶν ἐν Πελοποννήσῳ καὶ
to-them being-content and with the in Peloponnese and
Εὐρίπῳ Λατίνων συμβιβάσεις ἔχοντες εἰρηνικάς.
Euripos Latins agreements having peaceful
Οὐ πολὺς παρερρύη χρόνος, καὶ ὁ Μανουὴλ ἐξ ἀνθρώπων 39
not much flowed-by time and — Manuel from men
ἐγένετο, μετάμελος, ὡς ἔλεγον, τῶν παραβασιῶν τῶν
became repentant as they-said of-the transgressions the(-ones)
πρὸς τὸν βασιλέα γενόμενος. θνήσκει δὲ καὶ ἡ βασιλὶς
toward the emperor having-become dies and also the empress
Εἰρήνη, γυνὴ σωφρονική τε καὶ ἀρχικὴ καὶ πολὺ τὸ
Irene woman prudent both and fit-to-rule and much the
μεγαλεῖον ἐπιδεικνυμένη τὸ βασίλειον. ἔχαιρε δὲ καὶ
grandeur displaying the imperial rejoiced and also
λόγοις καὶ σοφῶν ἠκροᾶτο μετὰ ἡδονῆς· ἐτίμα δὲ τούτους
in-letters and of-wise listened-to with pleasure honored and them
ὑπερβαλλόντως, ὡς ἔστιν ἐκ τούτου γνῶναι. καὶ γὰρ
exceedingly as it-is from this to-know also for
ἐκλείψεως γινομένης, ἡλίου τὸν καρκίνον διοδεύοντος περὶ
of-eclipse happening of-sun the Crab traversing about
μεσημβρίαν, ἐπείπερ αὐτὸς οὕτω συμβὰν ἐν τοῖς βασιλείοις
midday since I-myself so it-happened in the palace
ἀπῆλθον — ἐσκηνοῦτο δὲ περὶ τοὺς τόπους οὓς ὀνομάζουσι
I-went was-encamped and about the places which they-name
Περίκλυστρα σὺν τῇ βασιλίδι ὁ βασιλεύς — ἠρώτηκέ
Periklystra with the empress the emperor asked
με τὴν τῆς ἐκλείψεως αἰτίαν. καὶ αὐτὸς μὲν ἀκριβῶς
me the of-the eclipse cause and I-myself indeed exactly
οὐκ εἶχον ἐρεῖν — ἄρτι καὶ γὰρ τῶν τῆς φιλοσοφίας
not could to-say just-now also for of-the of-the philosophy
ἡψάμην ὀργίων παρὰ τοῦ σοφοῦ Βλεμμύδου διδασκόμενος
I-had-touched rites from the wise Blemmydes being-taught

— ὅμως μέντοι παρ᾽ αὐτοῦ τῷ τότε ὅσον ἦν
nevertheless however from him at-the then(-time) as-much-as was
εἰκὸς ἐπιγνοὺς τήν τε τῆς σελήνης ἐπιπρόσθησιν αἰτίαν
likely having-learned the both of-the moon interposition cause
τῆς ἐπισκιάσεως ἔλεγον εἶναι, καὶ δοκεῖν μὲν ἐκλείπειν
of-the overshadowing I-said to-be and to-seem indeed to-be-eclipsed
τὸν ἥλιον, οὐκ ἀληθῆ δὲ εἶναι τὴν τῆς φαύσεως στέρησιν,
the sun not true but to-be the of-the illumination deprivation
μᾶλλον μέντοι τοῦτο τὴν σελήνην πάσχειν, ἐπὰν τῷ
rather however this the moon to-suffer whenever in-the
σκιάσματι ἐμπέσῃ τῆς γῆς, διὰ τὸ ἐξ ἡλίου τὸ φέγγος
shadow it-falls of-the earth because-of the from sun the light
αὐχεῖν. ἐπεὶ δὲ ὁ λόγος ἐπὶ μήκιστον παρετείνετο, ἀντέλεγε
to-boast when and the discussion to greatest-length was-being-extended contradicted
δὲ τοῖς λεγομένοις ὁ ἰατρὸς Νικόλαος, ἀνὴρ ἥκιστα μὲν
and the things-said the physician Nikolaos man least indeed
φιλοσοφίας μετασχών, ἄκρος δὲ τὴν οἰκείαν τέχνην καὶ
in-philosophy having-shared supreme but the own art and
μάλιστα τὴν διὰ πείρας γινωσκομένην· πάνυ δὲ οὗτος
especially the(-one) through experience known very and this(-man)
ἠγαπᾶτο τῇ βασιλίδι, ἀκτουαρίου δὲ εἶχε τιμήν. ἐπεὶ
was-loved by-the empress of-aktouarios and had honor when
γοῦν ἀντέλεγεν οὗτος, αὐτὸς δὲ πλέον ἐστωμυλλόμην,
then contradicted this(-man) I-myself and more I-was-chattering
ἐν τῷ μεταξὺ τῶν λεγομένων ἀπεκάλεσέ με ἡ βασιλὶς
in the midst of-the things-said called me the empress
μωρόν· εἶτα δὴ ὥσπερ τι οὐ προσῆκον ἐργασαμένη,
fool then indeed as-if something not fitting having-done
πρὸς τὸν βασιλέα στραφεῖσα ‘ἀπρεπῶς ἄρα εἰρήκειν᾽ ἔφη
toward the emperor having-turned unfittingly then I-had-spoken said
‘καλέσασα τοῦτον μωρόν᾽. καὶ ὁ βασιλεὺς ‘οὐ καινόν·
having-called this(-man) fool and the emperor not strange

μειράκιον γάρ ἐστιν᾽. εἴκοσι γὰρ σὺν ἑνὶ τότε ὑπῆρχον
youth for he-is twenty for with one then I-was
ἐτῶν, καὶ οὐ πάμπαν ἀπᾴδει τούτου τὸ πρόσρημα.
of-years and not wholly is-out-of-tune his the address
ἀλλ᾽ ἡ βασιλὶς ‘οὐ χρεών’ φησι ‘τὸν φιλοσόφους λόγους
but the empress not it-is-right says the(-one) philosophical words
προφέροντα οὑτωσί γε προσαγορευθῆναι παρ᾽ ἡμῶν᾽.
bringing-forward thus at-least to-be-addressed by us
ταῦτ᾽ εἶπον, ὡς ἂν παραστήσαιμι ὅπως τε αὕτη
these-things I-said so-that — I-might-show how both she
ἐφίλει τοὺς λόγους καὶ τοὺς εἰδότας τούτους ἐτίμα.
loved the letters and the(-ones) knowing them honored
θνήσκει μέν, ὡς ἔφην, ἡ βασιλὶς αὕτη, οἶμαι δὲ καὶ τὴν
dies indeed as I-said the empress this I-think and also the
τοῦ ἡλίου ἔκλειψιν τὸν αὐτῆς προσημᾶναι θάνατον. καὶ
of-the sun eclipse the her to-have-foretold death and
κομήτης δὲ πρὸ μηνῶν ἓξ περὶ τὸ μέρος ἀνεφάνη τοῦ
comet too before months six about the part appeared of-the
βορρᾶ· ἦν δὲ πωγωνίας καὶ διήρκεσε μῆνας τρεῖς, οὐκ
north was and bearded and lasted months three not
ἐν ἑνὶ τόπῳ ἀλλ᾽ ἐν διαφόροις φαινόμενος.
in one place but in different appearing
Μετὰ βραχὺ δὲ καὶ ὁ Βουλγάρων ἄρχων Ἀσὰν ἐξ
after short(-while) and also the of-Bulgarians ruler Asan from
ἀνθρώπων ἐγένετο, ἀνὴρ ἐν βαρβάροις ἄριστος ἀναφανείς,
men became man among barbarians best having-appeared
οὐκ ἐν τοῖς οἰκείοις γὰρ μόνον ἀλλά γε δὴ καὶ
not with the own for only but at-least indeed also
τοῖς ἀλλοτρίοις. ἐχρήσατο καὶ γὰρ φιλανθρωπότερον τοῖς
the foreign(-ones) he-dealt also for more-humanely to-the
προσερχομένοις αὐτῷ ἐπήλυσι καὶ μάλιστα τοῖς Ῥωμαίοις,
coming-over to-him strangers and especially to-the Romans

καὶ φιλοτίμως αὐτοῖς παρεῖχε τὰ σιτηρέσια. ἐπεὶ οὖν
and generously to-them provided the provisions when then
αὐτὸς ἐτεθνήκει, ὁ υἱὸς αὐτοῦ, ὃν Καλιμᾶνον ὠνόμαζον,
he had-died the son his whom Kaliman they-named
ἐκ τῆς ἐξ Οὔγγρων τούτῳ γεγεννημένος, τὴν ἀρχὴν
from the(-woman) from Hungarians to-him born the rule
ἀνεδέξατο. ἦν δὲ τῷ τοιούτῳ Καλιμάνῳ καὶ αὐτοκασιγνήτη,
took-up was and to-the such Kaliman also own-sister
ἧς τοὔνομα Θάμαρ. ἐκ δὲ τῆς τοῦ Ἀγγέλου θυγατρὸς
whose the-name Thamar from but the — of-Angelos daughter
τῷ Ἀσὰν τρεῖς παῖδες γεγέννηνται, ἄρρην ὁ Μιχαὴλ καὶ
— to-Asan three children have-been-born male — Michael and
θήλειαι, ὡς εἰρήκαμεν, ἡ Μαρία καὶ ἡ Ἄννα. ὁ μὲν οὖν
female as we-have-said — Maria and — Anna — indeed then
Καλιμᾶνος τὴν πατρικὴν ἀρχὴν ἀναζωσάμενος καὶ τὰς
Kaliman the paternal rule having-girded-on and the
μετὰ τοῦ βασιλέως Ἰωάννου σπονδὰς ἀνενεώσατο, καὶ εἶχον
with the emperor John treaties renewed and held
εἰρήνην ἐν τοῖς τοιούτοις τὰ πράγματα. τοῦ δὲ Μανουὴλ
peace in the such the affairs — and of-Manuel
τοῦ ἀδελφοῦ Θεοδώρου τετελευτηκότος, τὴν κρατουμένην
the brother of-Theodore having-died the held
παρ᾽ αὐτοῦ χώραν ὁ ἀνεψιὸς αὐτοῦ Μιχαὴλ κατέσχε καὶ
by him land the nephew his Michael occupied and
τῇ αὐτοῦ προσήρμοσε χώρᾳ· καὶ ἦσαν αὖθις εἰρηνεύοντες
to-the his joined land and they-were again keeping-peace
ὅ τε Θεόδωρος ὁ Ἄγγελος, τὸν υἱὸν αὐτοῦ Ἰωάννην
— both Theodore the Angelos the son his John
ἔχων ἐν Θεσσαλονίκῃ καὶ τοῖς περὶ αὐτὴν βασιλικῶς
having in Thessalonica and in-the(-places) around it imperially

φημιζόμενον, καὶ ὁ θεῖος αὐτοῦ Κωνσταντῖνος δεσπότης
acclaimed and the uncle his Constantine despot
καὶ οὗτος καλούμενος, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαήλ.
also this(-man) being-called and the nephew his Michael
Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ἐπειδὴ ὁ Βούλγαρος Ἀσὰν 40
the indeed then emperor John since the Bulgarian Asan
ἐκποδὼν ἐγένετο καὶ μειράκιον ἦρχε τῆς τῶν Βουλγάρων,
out-of-the-way became and a-youth ruled the of-the Bulgarians
ἀδείας δραξάμενος ἐπεχείρησε τὴν βασιλικὴν καταλῦσαι
license having-grasped attempted the imperial to-dissolve
κλῆσιν τὴν ἐπιφημιζομένην τῷ Ἰωάννῃ τῷ υἱῷ τοῦ
title the(-one) given — to-John the son —
Ἀγγέλου. καὶ πρῶτον μηνύμασιν ὑποποιεῖται τὸν αὐτοῦ
of-Angelos and first by-messages wins-over the his
πατέρα Θεόδωρον. καὶ δῆτα οἷος ἐκεῖνος ἀπροόπτως
father Theodore and indeed as that(-man) without-foresight
ἐπιχειρῶν ἐν τοῖς πράγμασι, μηδέν τι τῶν
attempting in the affairs nothing at-all of-the(-things)
συμβησομένων ὑπιδὼν προσέρχεται τῷ βασιλεῖ Ἰωάννῃ.
to-come having-suspected comes to-the emperor John
καὶ ὑποδέχεται αὐτὸν οὗτος ἀσμένως καὶ τετίμηκε,
and receives him this(-man) gladly and honored
θεῖόν τε τοῦτον ἀποκαλῶν κἂν τῇ αὐτοῦ συγκαθίζων
uncle both him calling even-at the his sitting-together
τραπέζῃ καὶ τῶν λοιπῶν φιλοφρονημάτων μεταδιδούς.
table and of-the other courtesies giving-a-share
ἐπεὶ δὲ τοῦτον ἐν χεροῖν ἔσχεν ὁ βασιλεύς, ἔτυχε
when and him in hands had the emperor it-happened
δὲ καὶ ταῖς αὐτοῦ δυνάμεσι ταῖς Ῥωμαϊκαῖς στράτευμα
and also to-the his forces the Roman army
ἀξιόμαχον προστεθὲν ἐκ Σκυθῶν — τούτους γὰρ πρὸ
fit-for-battle added from Scythians these for before

βραχέος δώροις τε καὶ δεξιώσεσι ποικίλαις ὁ βασιλεὺς
short(-while) with-gifts both and welcomes various the emperor
Ἰωάννης χειροήθεις τε πεποίηκεν ἐξ ἀγριωτέρου τοῦ
John tame both made from wilder the
ἤθους καὶ τῆς Μακεδόνων ἀπέσπασε καὶ πρὸς τὰ τῆς
character and from-the of-Macedonians drew-away and to the of-the
ἕω διεπέρασε μέρη — τούτοις μᾶλλον θαρρήσας καὶ μηδέν
east crossed parts in-these rather having-trusted and nothing
τι δεινὸν ἐκ Βουλγάρων προσδοκῶν, τὸ μὲν διὰ τὰς
at-all terrible from Bulgarians expecting partly indeed because-of the
γεγενημένας σπονδάς, τὸ δὲ καὶ διὰ τὸ ὑπὸ μειρακίου
made treaties partly and also because-of the by a-youth
τὰ τῶν Βουλγάρων διεξάγεσθαι, ἀπάρας τῆς ἕω
the(-affairs) of-the Bulgarians to-be-conducted having-set-out from-the east
ὁ βασιλεὺς καὶ διαπεραιωθεὶς τὸν Ἑλλήσποντον, τὰς ἐκ
the emperor and having-crossed — Hellespont the from
τῶν Ῥωμαϊκῶν στρατευμάτων δυνάμεις καὶ τὰς ἐκ τῶν
the Roman armies forces and the(-ones) from the
Σκυθῶν μεθ' ἑαυτοῦ ἔχων χωρεῖ κατὰ τοῦ ἐν Θεσσαλονίκῃ
Scythians with himself having goes against the in Thessalonica
βασιλεύειν φημιζομένου Ἰωάννου. ἐπεὶ δὲ παρῆλθε τὰ
to-reign acclaimed John when and he-passed the
τῆς Θράκης καὶ Μακεδονίας χωρία, ἤδη δὲ καὶ τὴν
— of-Thrace and Macedonia places already and also —
Χριστούπολιν παρήμειψε καὶ τὸν Στρυμόνα, τῷ φρουρίῳ
Christoupolis passed and — Strymon at-the fortress
τῆς Ῥεντίνης προσέσχεν, ὑπό τινων τηρουμένῳ τῶν
— of-Rentina put-in by some guarded of-the(-men)
Ἰωάννου· οἳ καὶ πρὸ τοῦ τὰ στρατεύματα τοῦ βασιλέως
of-John who also before the the armies of-the emperor
Ἰωάννου ἰδεῖν καταλιπόντες τὸ φρούριον, φυγῇ χρησάμενοι
John to-see having-left the fortress flight having-used

δρομαῖοι τὴν Θεσσαλονίκην εἰσῄεσαν. ἔρημον δὲ ἀνδρῶν
running — Thessalonica entered deserted and of-men
πολεμιστῶν εὑρόντες οἱ τοῦ βασιλέως κατέσχον αὐτὸ
warriors having-found the(-men) of-the emperor seized it
καὶ φυλακὴν ἐγκατέστησαν. ὁ δὲ βασιλεὺς τὴν στρατιὰν
and garrison installed the and emperor the army
ἅπασαν συλλεξάμενος ἐγγύς που τῆς Θεσσαλονίκης ὡσεὶ
all having-gathered near somewhere — Thessalonica about
σταδίους ὀκτὼ τὴν σκηνὴν πήγνυσι· κῆπος τοῦ Προβατᾶ
stades eight the tent pitches garden — of-Probatas
ἡ κλῆσις τοῦ τόπου. ἐλεπόλεις μὲν καὶ μηχανήματα οὐκ
the name of-the place siege-engines indeed and engines not
ἦν αὐτῷ εὐχερὲς κατὰ τῆς τοσαύτης πόλεως στήσασθαι
was for-him easy against the so-great city to-set-up
κἀντεῦθεν μετὰ μάχης τοιᾶσδε χειρώσασθαι, ἐκδρομὰς δὲ
and-thence with battle such to-subdue sallies but
ἐποίει διὰ τῶν στρατευμάτων καὶ τὰ πέριξ πάντα
he-made through the armies and the(-places) around all
ἐλήιζε, καὶ μάλιστα διὰ τῶν Σκυθῶν.
plundered and especially through the Scythians
πάντα γοῦν λείαν ἐποίουν. εἶχε δὲ μεθ' ἑαυτοῦ καὶ τριήρεις,
all then booty they-made he-had and with himself also triremes
ὧν ἦρχεν ὁ Κοντοφρὲ Μανουήλ. ἔγκριτοι δὲ τῷ βασιλεῖ
which commanded — Kontophre Manuel select and the emperor
παρείποντο ἄνδρες, ὁ Τορνίκης Δημήτριος, τὰ κοινὰ
attended men — Tornikes Demetrios the common(-affairs)
διέπων καὶ μεσιτεύων ταῖς ὑποθέσεσιν, Ἀνδρόνικος ὁ
managing and mediating in-the matters Andronikos the
Παλαιολόγος, ὃς τὴν τοῦ μεγάλου δομεστίκου περιεξώννυτο
Palaiologos who the of-the great domestic was-girded-with
δύναμιν, τὰ τῶν στρατευμάτων διεξάγων πράγματα, καὶ
power the of-the armies conducting affairs and

ἄλλοι πλείους εἰς ἡγεμόνας ἀποτεταγμένοι, ὅ τε Ῥαοὺλ
others more as commanders appointed — both Raoul
Ἀλέξιος πρωτοβεστιάριος ὤν, ὁ ἐπὶ τῆς τραπέζης
Alexios protovestiarios being the(-one) over the table
Νικηφόρος ὁ Ταρχανειώτης, ὁ Κοντοστέφανος ὁ
Nikephoros the Tarchaneiotes — Kontostephanos the(-one)
τὴν πρωτοσεβαστοῦ ἔχων ἀξίαν, ὁ Πετραλίφας μέγας
the of-protosebastos having dignity — Petraliphas great
χαρτουλάριος ὠνομασμένος, καὶ ἄλλοι τῶν ἐπιφανῶν οὐκ
chartoularios named and others of-the conspicuous not
ὀλίγοι. ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης παρακαθήμενος
few the indeed then emperor John sitting-before(-it)
ὅσα ἦν εἰκὸς ποιεῖν ἐποίει κατὰ τῆς πόλεως. οἱ δὲ
as-much-as was likely to-do did against the city the(-ones) and
ἐντὸς οὐκ ἀπώκνουν ἐργάζεσθαι, ἀλλὰ καὶ οὗτοι ἐκδρομὰς
within not shrank to-work but also these sallies
τῶν πυλῶν ἐξιόντες κατὰ τῶν τοῦ βασιλέως ἐποίουν. οὐ
from-the gates going-out against the(-men) of-the emperor made not
συχναὶ παρῆλθον ἡμέραι, καὶ τὸ τῶν Ταχαρίων ἔθνος κατὰ
many passed days and the of-the Tachars nation against
τῶν Μουσουλμάνων χωρῆσαν καὶ πόλεμον κατ᾽ αὐτῶν
the Muslims having-gone and war against them
συρρῆξαν νενίκηκε. καὶ ὁ λόγος φθάνει πρὸς τὸν βασιλέα,
having-broken-out conquered and the report reaches to the emperor
διαμηνυθεὶς παρὰ τοῦ υἱέος αὐτοῦ τοῦ βασιλέως Θεοδώρου·
announced by the son his the emperor Theodore
τοῦτον γὰρ καταλελοίπει περὶ τὰ μέρη τῶν Πηγῶν
him for he-had-left about the parts — of-Pegai
διατρίβειν, ἀφεὶς μετ᾽ αὐτοῦ καὶ τὸν Μουζάλωνα Ἰωάννην,
to-stay having-left with him also — Mouzalon John
μυστικὸν μὲν ὄντα ὅτε τοῖς κοσμικοῖς συνετάττετο, τότε δὲ
mystikos indeed being when with-the secular(-men) he-was-ranked then but

μοναχὸς ἦν, ἀνὴρ ὀξύνους καὶ δραστήριος καὶ βασιλικοῖς
monk he-was man sharp-minded and energetic and in-imperial
τῶν ἄλλων πλέον ἐμπρέπων πράγμασι, καὶ τὸν Λιβαδάριον
than-the others more distinguished affairs and — Libadarios
Μιχαήλ, μέγαν ἑταιρειάρχην ὄντα. ὡς γοῦν τῆς φήμης ὁ
Michael great hetaireiarch being as then of-the report the
βασιλεὺς ἤσθετο, σιωπὴν παραγγείλας τοὺς εἰδότας ἄγειν
emperor perceived silence having-ordered the(-ones) knowing to-keep
καὶ μηδενὶ περὶ τούτου κοινωνεῖν, εἰς συμβιβάσεις μετὰ
and with-no-one about this to-share to agreements with
τοῦ ἐντὸς Ἰωάννου χωρεῖ, πρέσβιν ἐν τούτοις λαβὼν τὸν
the within John goes envoy in these having-taken the
Ἰωάννου πατέρα τὸν Ἄγγελον Θεόδωρον. πληρουμένων
of-John father — Angelos Theodore being-fulfilled
γοῦν ἡμερῶν τεσσαράκοντα ἐγένοντο αἱ σπονδαὶ καὶ οἱ
then days forty were-made the treaties and the
ὅρκοι προέβησαν· τὰ μὲν γὰρ ἐρυθρὰ πέδιλα ἀπεβάλλετο
oaths proceeded the indeed for red sandals he-cast-off
καὶ τὴν περιμάργαρον πυραμίδα, εἰς ἣν καὶ λίθος
and the pearl-studded pyramid on which also stone
ὑπερκάθηται κόκκινος, βασιλικὰ ταῦτα σύμβολα, τετίμηται
sits-above scarlet imperial these symbols was-honored
δὲ πρὸς τοῦ βασιλέως τῷ δεσποτικῷ ἀξιώματι, καὶ
and by the emperor with-the despotic dignity and
εὔνους ἀνεφάνη τῷ βασιλεῖ. ταῦτα διαπραξάμενος ὁ
well-disposed appeared to-the emperor these-things having-accomplished the
βασιλεὺς παλινοστεῖ πρὸς τὴν ἕω, καταλιπὼν δεσπότην
emperor returns to the east having-left despot
τὸν βασιλέα καὶ ὑποχείριον, ὅρκοις συνδήσας τοῖς εἰωθόσι
the emperor and subject with-oaths having-bound the customary
καὶ δώροις εἰκόσι δεξιωσάμενος καὶ πάντας τοὺς ὑπ᾽
and with-gifts fitting having-welcomed and all the(-ones) under

ἐκεῖνον φιλοφρονησάμενος χρήμασι. καταλελοίπει δὲ μετ'
that(-man) having-courted with-money had-left and with
αὐτοῦ καὶ τὸν πατέρα τούτου Θεόδωρον.
him also the father his Theodore

41 Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης κατειλήφει τὴν ἕω. τὴν γοῦν
the indeed then emperor John had-reached the east the then
χειμερινὴν τότε παραμείψας ὥραν ἐν τῷ Νυμφαίῳ, ὡς
winter then having-passed season in — Nymphaion as
ἔθος ἦν αὐτῷ, ἀπάρας ἐκεῖθεν περὶ τὴν Λάμψακον ᾔει·
custom was for-him having-set-out thence to — Lampsakos went
κἀκεῖσε τὸ θέρος διαβιβάσας καὶ τὴν τῆς ὀπώρας ὥραν,
and-there the summer having-spent and the of-the autumn season
ἐπεὶ ὁ χειμὼν ἤρξατο, τοῦ χώρου μεταβὰς περὶ τὰ τῶν
when the winter began from-the region having-moved about the —
Πηγῶν ἐχώρει μέρη. μεγίστου δὲ χειμῶνος πεπείραται καθ'
of-Pegai went parts very-great and winter experienced on
ὁδόν, ἀρξαμένου μὲν ἐπὰν ὁ βασιλεὺς εἰς τὴν Σιγρηνὴν
road having-begun indeed when the emperor at — Sigrene
ἐσκήνωσεν· ἡμέρας δύο δὲ τῇ δριμύτητι τούτου καὶ τῇ
encamped days two and by-the sharpness of-it and by-the
σφοδροτάτῃ φορᾷ τῆς χιόνος τεταλαιπώρηκε, μέχρις ἂν
most-violent onrush of-the snow was-worn-out until —
κατηντήκει ἐς τὸ τῶν Πηγῶν ἄστυ. πολλοὶ γοῦν καθ' ὁδὸν
he-arrived at the — of-Pegai town many then on road
ἐτεθνήκεισαν καὶ πολλαί· μέχρι γοῦν τριακοσίων, ὡς οἱ
had-died and many(-women) up-to then three-hundred as the(-ones)
ἀριθμήσαντες ἔφασκον, ὑπὸ τῆς χιόνος κατεχώσθησαν,
having-counted said by the snow were-buried
μὴ δυνάμενοι ἀντωπῆσαι τῇ τοῦ πνεύματος φορᾷ. οὐδεὶς
not being-able to-face the of-the wind onrush no-one
γοῦν τῶν ἰδόντων ἔλεγε γινώσκειν γεγενῆσθαί ποτε
then of-the(-ones) having-seen said to-know to-have-happened ever

τοιοῦτον χειμῶνα. ἦγε δὲ τῷ τότε ὀκτωκαιδεκάτην
such winter was-keeping and at-the then(-time) eighteenth
μὴν ὁ Δεκέβριος, ἔτος δὲ ἦν ἐπὶ τῷ ἑξακισχιλιοστῷ καὶ
month — December year and was at the six-thousandth and
ἑπτακοσιοστῷ τὸ τεσσαρακοστὸν οἶμαι πρῶτον. ὁ μὲν οὖν
seven-hundredth the fortieth I-think first the indeed then
βασιλεὺς ἐν τῷ τῶν Πηγῶν ἄστει διημερεύσας, μέχρις ἂν τὸ
emperor in the — of-Pegai town having-spent-the-days until — the
πολὺ τοῦ χειμῶνος λωφήσῃ, ἐξιὼν ἐκεῖθεν εἰς τὸ Νύμφαιον
great-part of-the winter should-abate going-out thence to — Nymphaion
ἀπῄει, καὶ ἦν ἐκεῖσε μέχρι καὶ τῆς τοῦ ἔαρος ἐπιλάμψεως.
went-off and was there up-to also the of-the spring shining-forth
Ἐπεὶ γοῦν, ὡς εἰρήκειμεν, ἡ τῶν Μουσουλμάνων παρὰ
when then as we-had-said the of-the Muslims by
τῶν Ταχαρίων καταλέλυται στρατιά, σουλτὰν δὲ ἦρχεν
the Tachars has-been-destroyed army sultan and ruled
αὐτῶν, οὗ κλῆσις Ἰαθατίνης, υἱὸς τοῦ σουλτὰν Ἀζατίνη,
them whose name Iathatines son of-the sultan Azatines
φαῦλος ἐξ ἀγαθοῦ ἀρχὸς γεγονώς· πότοις γὰρ ἔχαιρε καὶ
worthless from good ruler having-become in-drinkings for he-rejoiced and
ἀσελγείαις καὶ κοίταις ἀλλοκότοις τε καὶ ἀτόποις, καὶ συνῆν
in-licentiousness and in-beds strange both and out-of-place and was-with
ἀεὶ ἀνθρωπίσκοις οὐκέτι λόγον εἰδόσιν οὐδ' ἀνθρωπίνην
always little-men no-longer reason knowing nor human
φύσιν τὸ σύνολον. ὁ πατὴρ δὲ αὐτοῦ οὐ τοιοῦτος ἦν, ἀλλ'
nature the whole the father and his not such was but
ἡττᾶτο μέν, οὐ σφόδρα δέ, τῶν ἀσελγειῶν· διὸ καὶ
was-overcome indeed not very and by-the licentiousness wherefore also
βέλτιον τῶν πρὸ αὐτοῦ ἐστρατήγει καὶ φιλίως πρὸς
better than-the(-ones) before him he-generalled and friendly toward
τὸν βασιλέα διέκειτο. ἀλλ' οὗτος, οἷς ἔχαιρε, πλησμίως
the emperor was-disposed but this(-man) in-what he-rejoiced to-satiety

τούτων ἀπώνατο. πεπείραται γοῦν μάχης Ταχαρικῆς καὶ
from-these profited experienced then battle Tacharian and
ἥττηται. ἐν στενῷ γοῦν τῶν πραγμάτων κομιδῇ γεγονὼς
was-defeated in strait then of-the affairs utterly having-become
πρέσβεις ἐκπέμπει πρὸς τὸν βασιλέα Ἰωάννην βουλῆς τε
envoys sends to the emperor John of-counsel both
ἀξιῶν ἀρίστης ἐξ αὐτοῦ τυχεῖν, ὡς ἂν ἀποτρέψαιτο
asking best from him to-obtain so-that — he-might-turn-away
τὸν ἀντίπαλον καὶ μικρὸν κουφισθείη τοῦ βάρους αὐτοῦ,
the opponent and a-little might-be-relieved of-the burden his
σωτηριῶδες τοῦτο φάσκων τυγχάνον ἀμφοῖν· τοῦ γὰρ γένους
saving this saying happening for-both of-the for race
τῶν Μουσουλμάνων παρὰ τῶν Ταχαρίων ἀπολωλότος
of-the Muslims by the Tachars having-perished
ἄνετος λείπεται τοῖς ἐναντίοις ἡ κατὰ τῶν Ῥωμαϊκῶν
free is-left to-the opponents the against the Roman
χωρῶν ἔφοδος. καὶ ἦν τοῦτο πάνυ γε ἀληθές. ὁ γοῦν
lands attack and was this very at-least true the then
βασιλεὺς Ἰωάννης, οἷα ἐκεῖνος δεινὸς ἐν τοιούτοις πράγμασιν,
emperor John as that(-man) clever in such affairs
ἀποδέχεται ἄσμενος τὴν πρεσβείαν καὶ εἰς ἑνῶσιν συνελθεῖν
receives glad the embassy and into union to-come
ᾑρετίσατο τῷ σουλτάν, ὡς ἂν τοῦτο τοῖς ἐναντίοις
chose with-the sultan so-that — this to-the opponents
εἰς ἀποτροπὴν γένοιτο· ἡνωμένων γὰρ τῶν τοιούτων δύο
for turning-away might-become united for of-the such two
ἀρχῶν μεγίστων εἰκὸς πτοίαν γενέσθαι τοῖς πολεμίοις,
powers very-great likely terror to-come to-the enemies
πρὸς ἕνα μὲν ἔχουσι τὸν σκοπόν, πρὸς δὲ δύο ἀθρόον
against one indeed having the aim against and two at-once
εὑρισκομένοις. καὶ γοῦν ἐπὶ τοῖς τοιούτοις συσκευασάμενοι
being-found and then upon the such(-terms) having-prepared

συνηλθέτην καὶ ἄμφω, ὅ τε βασιλεὺς Ἰωάννης καὶ ὁ
came-together and both the both emperor John and the
σουλτὰν Ἰαθατίνης, ἐν τῷ ἄστει τῆς Τριπόλεως, ὅπου καὶ
sultan Iathatines in the town — of-Tripolis where also
ὁ Μαίανδρος ῥεῖ ποταμός. γέφυραν γοῦν ἐξ αὐτοσχεδίου
— Maeander flows river bridge then from improvisation
ἐκ ξύλων οἱ τοῦ σουλτὰν ἐργασάμενοι, εὐχερῆ τοῖς
of timbers the(-men) of-the sultan having-made easy for-the(-ones)
βουλομένοις πεποιήκασι τὴν περαίωσιν. ἀλλήλους γοῦν
wishing made the crossing each-other then
οἱ ἀρχοὶ φιλοφρόνως δεξιωσάμενοι, ἔτι δὲ καὶ τοὺς ὑφ᾽
the rulers in-friendly-fashion having-welcomed still and also the under
ἑκάτερον ἑκάτεροι προύχοντας, καὶ συνθήκας, ἃς καὶ πρὸ
each each leading-men and agreements which also before
τοῦ εἶχον, κρειττόνως βεβαιωσάμενοι, ὡς ἂν μάχοιντο
this they-had more-strongly having-confirmed so-that — they-might-fight
συνημμένως τοῖς ἐναντίοις, διελύθησαν, ὁ μὲν βασιλεὺς
jointly against-the opponents parted the indeed emperor
ὑποστρέψας εἰς τὴν Φιλαδέλφου, ὁ δὲ σουλτὰν εἰς τὴν
having-returned to the of-Philadelphia the and sultan to the
Ἰκονιέων, ἔνθα εἶχε καὶ τὰ βασίλεια. τότε μὲν καὶ
of-Iconians where he-had also the palace then indeed also
ἀμφοῖν τὰ τῆς μάχης ἠρέμησαν. καὶ γὰρ ἡ τῶν
for-both the(-affairs) of-the battle were-quiet also for the of-the
Ταχάρων στρατιὰ καθ᾽ ἑαυτὴν ἔμενε καὶ οὐ κεκίνητο
Tachars army by itself remained and not had-been-moved
ὡς ἔθος· ἐν τοῖς ἑαυτῶν καὶ γὰρ ἠσχολοῦντο πράγμασι.
as custom in the their-own also for they-were-occupied affairs
Μετ᾽ οὐ πολὺ δὲ καὶ ὃν προειρήκειμεν Ἰωάννην τὸν 42
after not much and also whom we-had-said-before John the
δεσπότην γεγενημένον παρὰ τοῦ βασιλέως Ἰωάννου τὸ
despot made by the emperor John the

χρεὼν εἰλήφει. ὑπῆρχε δὲ αὐτῷ ἀδελφὸς Δημήτριος,
debt had-taken was and to-him brother Demetrios
ὃς μεταστειλάμενος πρεσβείαν εἰς τὸν βασιλέα τοῦ τε
who having-sent-for embassy to the emperor of-the both
δεσποτικοῦ ἀξιώματος ἐκεκληρονομήκει τοῦ ἀδελφοῦ καὶ
despotic dignity had-inherited of-the brother and
δεσπόζειν πάντων τῶν ὑπ᾽ ἐκεῖνον προστέτακται. ἀλλ᾽
to-be-master of-all the(-ones) under that(-man) has-been-ordered but
ἦν οὗτος οὐκ ἀδελφὰ φρονῶν Ἰωάννῃ τῷ ἀδελφῷ,
was this(-man) not brotherly(-things) thinking with-John the brother
ἀλλὰ πολλῷ τῷ μέτρῳ διέζευκτο. ἐκείνου μὲν γὰρ
but by-great the measure was-sundered of-that(-man) indeed for
εὐσεβείᾳ καὶ εὐλαβείᾳ καὶ σωφροσύνῃ χαίροντος — καὶ
in-piety and in-reverence and in-temperance rejoicing also
γὰρ ἔλεγον οἱ τὰ αὐτοῦ εἰδότες μὴ ἄν ποτε
for said the(-ones) the(-things) of-him knowing not — ever
ἀπολειφθῆναι μηδεμιᾶς ἡμέρας τοῦ ἔτους τοῦ μὴ τῆς
to-be-left-out of-any day of-the year from-the not the
θείας ἱεροτελεστίας ἐπακροάσασθαι, εἰ μή τις ἐκώλυε
divine sacred-office to-hear if not some hindered
νόσος· προσεῖχε δὲ παννυχίσιν εὐχαῖς, καὶ τὰς καθ᾽ ὥραν
illness be-attended and to-all-night prayers and the by hour
ὑμνῳδίας ὁσημέραι ἐπλήρου. ὡμίλει δὲ καὶ διηνεκῶς
hymn-singings daily fulfilled consorted and also continually
Ναζιραίοις, καὶ ἦν αὐτῷ διὰ σπουδάσματος ὅτι πλείστου
with-Nazirites and was to-him for endeavor as much-as-possible
τὸ τοῦ μονήρους βίου τυχεῖν καὶ τῆς ἐντεῦθεν ἡσυχίας
the of-the solitary life to-obtain and of-the thence quiet
ἐν πείρᾳ γενέσθαι ἢ κἂν προσφιλῶς διακεῖσθαι τοῖς
in experience to-become or at-least affectionately to-be-disposed to-the(-ones)
οὕτως ἔχουσιν. ὁ δὲ ἀδελφὸς Δημήτριος ἐξ ἐναντίας εἶχε
so being the but brother Demetrios from opposite had

τοῦ τρόπου. μειρακίοις γὰρ ἀβελτέροις ὡμίλει καὶ τούτοις
of-the way with-youths for silly consorted and with-these
τὰ πλεῖστα συνῄσθετο, καὶ τοῖς ἀφροδισίοις ἠσέλγαινε καὶ
the most was-pleased and in-the aphrodisian(-things) was-licentious and
παρὰ ταῖς ὑπὸ ζυγὸν ἐφοίτα, ὥστε ποτὲ καὶ σύμπτωμα
to the(-women) under yoke went so-that once also mishap
συνέβη τούτῳ δεινόν. ἐκ γὰρ θυρίδος τοῦ ἀνδρὸς
happened to-this(-man) terrible from for window the husband
τῆς μοιχευομένης ἀθρόον ἐπεισελθόντος βουληθεὶς
of-the(-woman) being-seduced suddenly having-come-in having-wished
ἀποδρᾶσαι, ὡς ἐξ ὑπερυψήλου τοῦ τόπου πεσών, τὸν
to-run-away as from very-high the place having-fallen the
γλουτὸν ἐπλήγη· ἱκανὰς δὲ ἡμέρας νοσηλευθεὶς ἰάθη
buttock was-struck sufficient and days having-been-nursed was-healed
μέν, ὑπέσκαζε δὲ τῶν ποδῶν θάτερον καὶ οὐκ ἐβημάτιζεν
indeed limped and of-the feet on-the-one and not walked
ὁμαλῶς. ἀλλ᾽ οὗτος οὐκ εἰς μακρὰν ἀπώνατο τῆς
evenly but this(-man) not for long enjoyed the
ἀρχῆς. ὁ γὰρ βασιλεὺς Ἰωάννης ἀδείας δραξάμενος τῷ
rule the for emperor John (the)-license having-grasped at-the
τότε καιροῦ, ἐπείπερ, ὡς ἔφημεν, τὸ τῶν Ταχαρίων
then(-time) of-time since as we-said the of-the Tachars
γένος ἐνησχολεῖτο ἑτέροις ἔθνεσι, καταλιπὸν τὴν πρὸς τοῦ
race was-occupied with-other nations having-left the against the
σουλτὰν τοῦ Ἰκονίου μάχην — τῷ γὰρ Βαβυλωνίῳ καὶ
sultan — of-Iconium battle with-the for Babylonian and
τοῖς πέριξ τούτου τὰ τῆς μάχης ἐπῆγεν, ὃν
the(-ones) around him the(-things) of-the battle he-was-bringing whom
Χαλιφᾶν εἰώθασι καλεῖν τὰ τῶν Μουσουλμάνων φῦλα —
Caliph are-wont to-call the of-the Muslims tribes

θέρους ὥρας γενομένης διαπεραιοῦται τὸν Ἑλλήσποντον,
of-summer season having-come crosses — Hellespont
καταλιπὼν εἰς τὴν ἕω τὸν υἱὸν αὐτοῦ Θεόδωρον.
having-left in the east the son his Theodore
Ἔτυχε μὲν πρὸ καιροῦ τὸν πατριάρχην Γερμανὸν τὰ
it-happened indeed before time the patriarch Germanos the(-things)
τῇδε καταλιπόντα πρὸς τὰς θείας ἀπᾶραι σκηνάς, καλῶς καὶ
here having-left to the divine to-depart tents well and
ὁσίως βιώσαντα καὶ καλῶς τὴν αὐτοῦ ποιμάναντα ποίμνην·
holily having-lived and well the his having-shepherded flock
ἐγένετο δὲ μετ᾽ αὐτὸν Μεθόδιός τις καλούμενος μοναχός,
became and after him Methodios a-certain called monk
ἡγούμενος τῆς κατὰ Νίκαιαν Ὑακίνθου μονῆς, ἀνὴρ αὐχῶν
abbot of-the in Nicaea of-Hyakinthos monastery man boasting
μὲν εἰδέναι πολλά, ὀλίγων δὲ ἴδρις ὤν. ἀλλ᾽ οὗτος τρεῖς
indeed to-know many(-things) of-few but skilled being but this(-man) three
καὶ μόνους μῆνας ἐπαπολαύσας τοῦ θρόνου τετελεύτηκεν.
and only months having-enjoyed the throne died
ἐστέρετο γοῦν ἀρχιερέως ἡ ἐκκλησία. ὁ γὰρ βασιλεὺς
was-bereft then of-high-priest the church the for emperor
Ἰωάννης ἐν τοῖς τοιούτοις μὴ πρόχειρος ὢν οὐκ εὐχερῶς
John in the such(-matters) not ready being not easily
εἶχεν ἐκ τοῦ προχείρου τὸν ἄξιον ἐφευρεῖν, ἢ μᾶλλον τὸν
was-able from the readiness the worthy to-find-out or rather the(-one)
ἐκείνῳ ἀρέσοντα· μάλιστα γὰρ οἱ κρατοῦντες τοὺς
to-that(-man) to-be-pleasing especially for the(-ones) ruling the(-ones)
πρὸς ἀρέσκειαν ἐν τούτοις προσίενται, ὡς ἂν μή τινας
toward pleasing in these admit so-that — not any
ἔχοιεν ἀντερίζοντας τοῖς βουλήμασι. παρερρύη γοῦν
they-might-have contending with-the wishes flowed-past then
χρόνος συχνός, καὶ οὐκ ἦν ὁ διεξάγων τὸ ποίμνιον.
time long and not was the(-one) conducting the flock

VIII · THESSALONICA TAKEN

On news of the boy Kaliman's death John takes Serres and Melenikon, whose people come over, and wins the Bulgarian towns of Macedonia without a battle. Demetrios, Theodore's son, rules Thessalonica foolishly; his nobles plot with John, and the city is opened. John takes Tzouroulos and Bizye, and recovers Rhodes from the Genoese.

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης, ὡς ἔφημεν, εἰς τὴν 43
the indeed then emperor John as we-said to the
ἀντιπέραν καὶ δυτικὴν ἐποιεῖτο τὸν βάδον χάριν τοῦ
opposite and western was-making the march for-the-sake of-the
τὰς ἐκεῖσε χώρας καὶ τὰ ἐν αὐτοῖς κατοπτεύσασθαι ἄστη·
the there lands and the in them to-survey towns
καὶ μέχρι γὰρ τοῦ οὕτω πως ὀνομαζομένου ἄστεος
and up-to for the thus somehow named town
Ζίχνα, ἐγγύς που ὄντος Σερρῶν, ἁπάντων ἐδέσποζεν.
Zichna near somewhere being Serres of-all he-was-master
ἦρχε μὲν τότε Βουλγάρων ὁ τοῦ Ἀσὰν υἱὸς Καλιμᾶνος,
ruled indeed then Bulgarians the — of-Asan son Kaliman
δωδεκέτης ὤν. ἐπεὶ γοῦν περὶ τὰ μέρη τοῦ Κισσοῦ ὁ
twelve-years-old being when then about the parts — of-Kissos the
βασιλεὺς γένοιτο κἀκεῖσε διημερεύσας τὴν ἐπαύριον τῆς
emperor came and-there having-spent-the-day the next-day the
πορείας εἴχετο, ἐπεφθάκει δὲ περὶ τὸν ποταμὸν Ἔβρον,
march held-to had-arrived and about the river Hebros
πλησίον τῆς μονῆς τοῦ Βηρὸς ὀνομαζομένης ποιούμενον
near the monastery — of-Bera named making
τὰς ῥοάς, Μαρίτζαν δὲ καλούμενον χωριτικῇ διαλέκτῳ.
the streams Maritza and called in-the-rustic dialect
κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ γενομένου τοῦ βασιλέως
in and the middle of-the river having-come the emperor

— ποσὶ γὰρ ἵππων ὑπῆρχε βατός, ἐπείπερ θέρους
by-feet for of-horses it-was fordable since of-summer
τέλος ἐτύγχανε· φθίνοντος γὰρ τρίτη ἢ καὶ τετάρτη
end it-happened waning for third or also fourth
Σεπτεβρίου ἦν — μήνυμα διακεκόμισται σεσημασμένον
of-September was message has-been-brought signified
γραφῇ σταλείσῃ παρὰ τοῦ τὴν δημόσιον τῆς
by-writing sent by the(-one) the public of-the(-region)
Ἀχριδῶν κρατοῦντος ἀρχήν, ὡς ὁ Καλιμᾶνος ὁ τῶν
of-Achridos holding office that — Kaliman the of-the
Βουλγάρων ἄρχων τὸν βίοτον ἐξεμέτρησεν, ὥς τινες
Bulgarians ruler the life measured-out as some
μὲν ἔφασκον, φυσικῇ νόσῳ τοῦτο παθών, οἱ δ'
indeed said by-natural illness this having-suffered the(-others) and
ἄλλως ἔλεγον, ὡς ἐναντιόφροσι τούτῳ πόματι κρύφα
otherwise said that by-contrary-minded to-him drink secretly
ἐσκευασμένῳ πρὸς μόρον διέφθαρται. ἀλλ' οὗτος μὲν
prepared for death he-was-destroyed but this(-man) indeed
εἴθ' οὕτως εἴτ' ἄλλως ἐξ ἀνθρώπων ἐγένετο, καὶ ἦν
whether so or otherwise from men became and was
ὁ λόγος ἀληθείας ἐχόμενος· συνεχέσι γὰρ διεβεβαιοῦτο
the report of-truth holding by-continual for it-was-confirmed
μηνύμασιν.
messages
Ὁ μὲν οὖν βασιλεὺς ταῦτα μαθὼν τοῦ πρόσω
the indeed then emperor these-things having-learned the forward
εἶχετο, καὶ τάχος φθάνει τὴν Φιλίππους, παραμείψας
held-to and quickly reaches — Philippi having-passed
Χριστούπολιν. κἀκεῖσε σκέψιν ἐποιεῖτο μετὰ τῶν
Christoupolis and-there deliberation made with the
αὐτοῦ λογάδων, εἰ δεῖ προσβαλεῖν τοῖς τῶν
his select-men whether it-is-necessary to-attack the(-places) of-the

Βουλγάρων καὶ χειρώσασθαί τινα τῶν παρ᾽ αὐτοῖς
Bulgarians and to-subdue some of-the(-places) by them
κρατουμένων, καὶ εἰ εὐχερές ἐστιν ἁλῶναι ἡμῖν τὸ
held and whether easy it-is to-be-taken by-us the
τῶν Σερρῶν ἄστυ. τινὲς μὲν ἀπηγόρευον τῷ βασιλεῖ τὴν
— of-Serres town some indeed dissuaded the emperor the
κατὰ τῶν Βουλγάρων μάχην· οὐ γὰρ ἀξιόμαχον ἔλεγον
against the Bulgarians battle not for fit-for-battle they-said
ἄγειν στρατόν, ἐπεὶ μηδὲ πρὸς μάχην ηὐτρέπιστο, ἀλλὰ
to-lead army since not-even for battle he-had-been-prepared but
κατὰ μόνην θέαν τῶν αὐτοῦ ἐποιεῖτο τὴν κίνησιν.
for only viewing of-the(-places) his he-made the movement
τὸ δὲ τῶν Σερρῶν ἄστυ, ᾧ πρώτως προσβαλεῖν
the and — of-Serres town which first to-attack
ἔδει, ἄμαχον μέν ἐστιν ἐκ τοῦ ὑπερκεῖσθαι τῆς
it-was-necessary unassailable indeed is from the to-lie-above the
γῆς, κυκλωθῆναι δὲ τοσούτῳ στρατεύματι οὐκέτι ῥᾳόν
ground to-be-encircled and by-so-great army no-longer easier
ἐστιν· ἑλεπόλεις δὲ στῆσαι κατ᾽ αὐτοῦ τῶν ἀμηχάνων
is siege-engines and to-set-up against it of-the impossible(-things)
καθέστηκε. προσβαλεῖν δὲ καὶ μετὰ πεῖραν ἀποκρουσθῆναι
stands to-attack and also after trial to-be-repulsed
αἰδὼς μὲν ὑπάρχει τῷ κράτει τῆς τῶν Ῥωμαίων
shame indeed is to-the might of-the of-the Romans
ἀρχῆς — φήμη γὰρ αὐτοῖς ἐπὶ τοῖς τοιούτοις πάνυ
rule fame for to-them for the such(-things) very
πολλὴ — καὶ τὸ πρὸς μάχην παροτρῦναι Βουλγάρους
much and the to battle to-rouse Bulgarians
ἐφησυχάζοντας οὐκέτι συμφέρει. ταῦτα συνεβούλευον
keeping-quiet no-longer is-expedient these-things advised
οἱ τὸν βασιλέα τῆς ἐγχειρήσεως ἀποτρέποντες.
the(-ones) the emperor from-the undertaking turning-away

ὁ δὲ Παλαιολόγος Ἀνδρόνικος, ὃν μέγαν δομέστικον
— *and Palaiologos Andronikos whom great domestic*
ὁ λόγος μοι προϊστόρησε, τὰ ἐναντία μᾶλλον
the account to-me told-before the(-things) opposite rather
τῷ βασιλεῖ συνεβούλευε· ‘καὶ ἀποπειρᾶσθαι χρὴ
the emperor advised also to-make-trial it-is-necessary
τοῦ ἄστεος τῶν Σερρῶν· καὶ εἰ μὲν κρατήσαιμεν
of-the town — of-Serres and if indeed we-should-master
τούτου, κέρδος ἐσχήκαμεν οὐ μικρόν, καὶ μᾶλλον τὰ
it gain we-have not small and rather the(-affairs)
τῶν Βουλγάρων ταπεινωθήσονται καὶ τὴν τῆς ἀγάπης
of-the Bulgarians will-be-humbled and the of-the love
πρεσβείαν εὐχερέστερον δέξαιντο, ἐπεὶ καὶ ἐκποδὼν
embassy more-easily they-would-receive since also out-of-the-way
αὐτῶν ὁ δεσπότης, μέλλει δὲ καὶ ἄλλο βρέφος ἄρξαι τῶν
their the master is-about and also another babe to-rule the
Βουλγάρων, ὁ ἐκ τῆς Εἰρήνης τῆς τοῦ Ἀγγέλου Θεοδώρου
Bulgarians the from — Irene the — of-Angelos Theodore
τῷ Ἀσὰν γεννηθεὶς Μιχαήλ. εἰ δὲ μὴ περιγενέσθαι ἡμᾶς
— to-Asan born Michael if and not to-overcome us
συμβαίη τοῦ ἄστεος, τί τὸ ζημίαν ἐπάγον τῇ
it-should-happen the town what the(-thing) loss bringing to-the
τῶν Ῥωμαίων ἀρχῇ; λαβόντες γὰρ διάπειραν ἠρεμήσομεν
of-the Romans rule having-taken for trial we-will-be-quiet
καὶ πάλιν διαπρεσβεύσομεν πρὸς Βουλγάρους, κἀκεῖνοι
and again we-will-send-embassy to Bulgarians and-they
ἀσμένως τὴν πρεσβείαν δέξαιντο ὑπὸ βρέφους ἀρχόμενοι,
gladly the embassy would-receive by a-babe being-ruled
ὅ τι τὰ πρὸς μάχην οὐκ οἶδεν. ἕκαστος δὲ τὰ
who at-all the(-things) for battle not knows each and the(-things)
τῆς εἰρήνης φιλεῖ, τῆς ἀναπαύσεως στοχαζόμενος.’
of-the peace loves the rest aiming-at

ἜΕδοξε τῷ βασιλεῖ ἄριστα βεβουλεῦσθαι τὸν μέγαν
it-seemed to-the emperor best to-have-counseled the great
δομέστικον, καὶ δὴ τῆς πρὸς τὰς Σέρρας φερούσης
domestic and indeed the(-road) to — Serres leading
ὡς εἶχεν ἥψατο, σχεδόν τ᾽ ἐκείνων γενόμενος ἐπήξατό
as he-was he-took near both those(-places) having-come pitched
τε τὰς σκηνὰς καὶ κατ᾽ αὐτῶν ἐστρατοπεδεύσατο,
both the tents and against them encamped
οὔκουν μὲν δι᾽ ἀξιομάχου στρατοῦ, οὐ γὰρ ηὐμοίρει
not-then indeed through fit-for-battle army not for was-well-off
τότε τοσούτων, καθὼς εἰρήκαμεν, στρατηγίᾳ δὲ καὶ
then with-so-many as we-have-said by-generalship but and
μεθοδεύμασιν ἀπεπειρᾶτο τοῦ ἄστεος. ἐπεὶ δ᾽ αἱ Σέρραι
by-methods made-trial-of the town since and — Serres
πάλαι μὲν ὑπῆρχε πόλις μεγίστη, ὁ δὲ Βούλγαρος
long-ago indeed were city very-great the but Bulgarian
Ἰωάννης μετὰ τῶν λοιπῶν Μακεδονικῶν πόλεων καὶ
John with the other Macedonian cities also
ταύτην πολιορκῆσας κατήρειψεν, ὡς κώμη τότε ἐτύγχανε,
this having-besieged demolished as village then it-happened
τῆς ἀκροπόλεως μόνης περιτετειχισμένης καὶ ηὐτρεπισμένης
the citadel alone walled-around and prepared
δέξασθαι πόλεμον· ἧς φύλαξ ἦν ἀνὴρ Βούλγαρος
to-receive war of-which guard was man Bulgarian
Δραγωτᾶς τὴν κλῆσιν, ἐς Μελενίκον τὰς οἰκήσεις
Dragotas the name at Melenikon the dwellings
ποιούμενος. ἐπεὶ γοῦν ἡ κάτω πόλις Σερρῶν ἀτείχιστος
making when then the lower city of-Serres unwalled
ἦν — λίθοις γὰρ καὶ μόνοις ἀσβέστου δίχα καὶ μὴ
was with-stones for and only of-lime without and not
ἀνηγμένοις εἰς ὕψος τὰ τεθραυσμένα τάχα περιεφράγνυτο
raised to height the broken(-parts) supposedly was-fenced

— τοὺς ἐπὶ μισθῷ τοῖς στρατιώταις δουλεύοντας,
the(-ones) for pay to-the soldiers serving
οὓς καὶ Τζουλούκωνας ἡ χυδαία γλῶττα κατονομάζει,
whom also Tzouloukones the vulgar tongue names
συναθροίσας ὁ βασιλεὺς κρατῆσαι ταύτης ἠρέθιζεν,
having-gathered the emperor to-master it urged
ἐπεὶ καὶ τῶν ἀναγκαίων ἐσπάνιζον· οἳ καὶ οἴκοθεν
since also of-the necessities they-lacked who also from-home
ἐκινοῦντο πρὸς τὸ εὐπορῆσαι τῶν χρειωδῶν. ὁρῶντες δὲ
were-moved toward the to-be-supplied of-the needful(-things) seeing and
καὶ τὴν χώραν εὐεπίβατον, τὰ τόξα λαβόντες, ἔτι δὲ
also the place easy-to-attack the bows having-taken still and
καὶ τὰς σπάθας, καί τινας σανίδας ἐξαυτοσχεδιάσαντες
also the swords and some planks having-improvised
ὡς ἀσπίδας καὶ ταύτας προβεβλημένοι, τὸ ἀρεϊκὸν
as shields and these having-held-before the warlike
ἀλαλάξαντες χωροῦσι κατὰ τῆς χώρας αὐτοβοεί, καὶ
having-raised-the-war-cry go against the place at-the-first-shout and
ἐν οὐ πολλαῖς ὥραις ἐντὸς ἐγένοντο. σκυλεύουσι γοῦν
in not many hours within were they-despoil then
τὰ παρευρεθέντα. οἱ δέ γε ἐντός, ὅσοι
the(-things) found the(-ones) and at-least within as-many-as
μὴ ἐπεφθάκεισαν εἰς τὴν ἀκρόπολιν ἀναδραμεῖν, ἱκέται
not had-managed to the citadel to-run-up suppliants
πρὸς τὸν βασιλέα ἐξήεσαν. ἐπεὶ δὲ ὁ κρατῶν τοῦ
to the emperor went-out when and the holding the
ἄστεος Δραγωτᾶς τὴν κάτω χώραν εἶδεν ἁλοῦσαν,
town Dragotas the lower place saw taken
ἀνὴρ Βούλγαρος καὶ ἥκιστα πεπαιδευμένος ἄστυ χρονίως
man Bulgarian and least educated town long
διαφυλάττειν, μαθὼν δὲ καὶ τὸν τοῦ δεσπότου αὐτοῦ
to-guard having-learned and also the of-the master his

θάνατον, τύχῃ ἀγαθῇ οὐ διὰ μακροῦ καρτερήσας
death by-fortune good not for long having-held-out
διαπρεσβεύεται πρὸς τὸν βασιλέα. καὶ τὸ μὲν ἄστυ εὐθὺς
sends-embassy to the emperor and the indeed town at-once
τὸν βασιλέα ἐφήμιζεν, ἁλουργὸν δὲ χλαῖναν ὁ Δραγωτᾶς
the emperor acclaimed purple and cloak — Dragotas
χρυσίῳ συνυφασμένην ἐνεδέδυτο καὶ στατήρων πλῆθος
with-gold interwoven put-on and of-staters multitude
χρυσῶν ἐδέδεκτο. ὑποσχέσεις γοῦν ὑπὲρ τοῦ Μελενίκου
golden received promises then about — Melenikon
λαμπρὰς πρὸς τὸν βασιλέα ἐποιεῖτο, μᾶλλον καὶ ὑπεράγαν
splendid to the emperor made rather and exceedingly
ἀληθεῖς.
true
Πάντα γοῦν ταῦτα πρὸς τοῦ βασιλέως λαβὼν ὁ 44
all then these-things from the emperor having-received —
Δραγωτᾶς καὶ ὡς δέλεαρ ὑποβεβλημένος ἀπῄει. ἐπεὶ
Dragotas and as bait having-been-laid went-off when
δὲ φθάσοι ἐς Μελενίκον, πάντα προῦπτα τοῖς ἐποίκοις
and he-reached to Melenikon all clear to-the inhabitants
ποιεῖται καὶ σφᾶς αὐτοὺς διεγείρει προδοῦναι τὸ ἄστυ τῷ
makes and them themselves rouses to-betray the town to-the
βασιλεῖ, ἐν τῷ φανερῷ μὲν οὐ ταῦτα λέγων, κρύφα
emperor in the open indeed not these-things saying secretly
δὲ τοῖς πλείστοις περὶ τούτου κοινολογούμενος. ἐπεὶ
but with-the most about this conferring when
δὲ ὁ τὴν ἡγεμονίαν διέπων τοῦ ἄστεος ὁ Λιτοβόης
and the the command managing of-the town — Litoboes
Νικόλαος κατάνοσος ἦν καὶ τῇ κλίνῃ ταῖς τῶν ποδῶν
Nikolaos very-ill was and to-the bed by-the of-the feet
ἀλγηδόσι προσπεπατταλευμένος, ἐλευθέρως εἶχον οἱ πάντες
pains nailed freely were-able the all

διαπράττεσθαι σφίσι τὰ βουληθά. ἐπεὶ δὲ καὶ ὁ
to-accomplish for-themselves the(-things) wished when and also —
Μαγκλαβίτης Νικόλαος εἷς ἦν τῶν ἐπιφανεστέρων ἐν
Manglabites Nikolaos one was of-the more-conspicuous among
τοῖς τοῦ Μελενίκου οἰκήτορσιν, ἀνὴρ δραστήριος καὶ δεινὸς
the — of-Melenikon inhabitants man energetic and clever
καιρικαῖς περιπετείαις συμμεταβάλλεσθαι, τὰ τοῦ
with-timely reversals to-change-along the(-plans) —
Δραγωτᾶ φωράσας καὶ γνούς, ὡς δυνηθείη ἂν τὰ
of-Dragotas having-detected and having-known that he-could — the(-things)
ὑπεσχημένα τῷ βασιλεῖ διαπράξασθαι, τοῦ πλήθους τὸ
promised to-the emperor to-accomplish of-the multitude the
πλεῖον ὑπαγαγών, τοῦ κρύφα λέγειν ἀποστὰς ἐς
greater-part having-won-over from-the secretly to-speak having-left-off to
τὸ φανερὸν τοῖς πᾶσιν ὑπέθετο τὰ συνοίσοντα,
the open to-the all proposed the(-things) to-be-of-advantage
εἰρηκὼς ὡς ‘ἡμῖν μὲν ἐγένετο προσταλαιπωρῆσαι τῇ
having-said that to-us indeed it-happened to-endure-hardship-for the
τοῦ παιδὸς τοῦ Καλιμάνου ἀρχῇ, καὶ ἦν πρὸς ἐλπίδος
of-the boy — of-Kaliman rule and it-was within hope
ἀνδρωθῆναί τε τοῦτον καὶ πρὸς αὐτοῦ τὰς ἀμοιβὰς
to-come-to-manhood both him and from him the rewards
τῆς κακοπαθείας ἀντιλαβεῖν εἰς ἡλικίαν ἐλθόντος, ὅτε
of-the hardship to-receive-in-return to age having-come when
διακρῖναι δύναιτ’ ἄν τις ἀπὸ φαύλου ἄνδρα καλόν.
to-distinguish could — one from worthless man good
ἐπεὶ δὲ τούτου κακούργῳ τύχῃ ἡμάρτομεν, πρόκειται
since and of-this by-wicked fortune we-missed lies-before
δὲ ἡμῖν βρεφύλλιον ἄλλο εἰς τὴν τῶν Βουλγάρων
and us babe another to the of-the Bulgarians
ἀρχήν, παντὸς ἂν ἀνοηταίνοντος χείρους φανείημεν,
rule than-every-one — being-foolish worse we-would-appear

εἰ πάλιν πρὸς δυσπραγίας ἄλλας αὐτοὺς ἐπιδοίημεν,
if again to misfortunes other ourselves we-should-give-over
ἀδέσποτοι τὸν πάντα βίον διατελεῖν αἱρούμενοι, ὑφ' οὗ
masterless the all life to-continue choosing by which
πολλά τε καὶ μείζω τὰ δεινὰ φύεται. ἀλλ' ἐπεὶ
many both and greater the terrible(-things) grow but since
βασιλεὺς ἡμῖν ὁ τῶν Ῥωμαίων προσήγγισε, δεῖ
emperor to-us the of-the Romans has-drawn-near it-is-necessary
αὐτῷ ἑαυτοὺς ἐγχειρίσασθαι, δεσπότῃ πιστῷ καὶ εἰδότι
to-him ourselves to-hand-over master faithful and knowing
ἄνδρα ἠδὲ κακὸν ἠδὲ καὶ ἐσθλόν, καὶ δίκαιον ἐν
man both bad and also noble and just among
ἡμῖν ἔκπαλαι σχόντι. ὅ τε γὰρ ἡμέτερος χῶρος τῇ
us of-old having-had the both for our region to-the
τῶν Ῥωμαίων προσήκει ἀρχῇ — πλεονεκτικώτερον
of-the Romans belongs rule more-greedily
γὰρ οἱ Βούλγαροι τοῖς πράγμασι χρησάμενοι καὶ τοῦ
for the Bulgarians the affairs having-handled also —
Μελενίκου γεγένηνται ἐγκρατεῖς — ἡμεῖς δὲ πάντες
of-Melenikon have-become masters we and all
καὶ ἐκ Φιλιππουπόλεως ὁρμώμεθα, καθαροὶ τὸ γένος
also from Philippopolis set-out pure the race
Ῥωμαῖοι. ἄλλως τε καὶ ὁ τῶν Ῥωμαίων βασιλεὺς
Romans otherwise both and the of-the Romans emperor
ἀληθῶς καὶ ἐν ἡμῖν δικαιοῦται, καὶ εἰ Βουλγάροις
truly also among us is-justified even if to-Bulgarians
προσήκοιμεν· ὁ γὰρ υἱὸς τούτου καὶ βασιλεὺς Θεόδωρος
we-belonged the for son his and emperor Theodore
τῷ βασιλεῖ τῶν Βουλγάρων τῷ Ἀσὰν κεκήδευτο, καὶ
to-the emperor of-the Bulgarians — to-Asan was-married-into and
νῦν ἡ τοῦ βασιλέως τοῦ Ἀσὰν θυγάτηρ ἡ σύζυγος τοῦ
now the of-the emperor — of-Asan daughter the wife of-the

τοιούτου βασιλέως δέσποινα Ῥωμαίων ὀνομάζεταί τε καὶ
such emperor lady of-Romans is-named both and
ἐστί. τούτων οὖν ἁπάντων χάριν τὰ πολλὰ τῶν
is of-these then all for-the-sake the much of-the(-things)
λεγομένων καταλιπόντας ἐπ᾽ αὐτῷ χρὴ ἰέναι καὶ
said having-left to him it-is-necessary to-go and
τοὺς αὐχένας ὑποκλῖναι τῷ τῆς δουλείας ζυγῷ· χρηστὸς
the necks to-bow to-the of-the slavery yoke kind
γὰρ ὁ ζυγὸς τῶν φρονίμων βασιλέων καὶ γηραιῶν,
for the yoke of-the wise emperors and old
καὶ πολλῷ κουφότερος τῶν ἔτι διατελούντων ἐν
and by-much lighter than-the(-ones) still continuing among
μείραξι.᾽
youths
Ταῦτ᾽ εἰρηκὼς πέπεικε πάντας ἀπονητὶ καὶ πολλῶν ἄτερ
these-things having-said persuaded all without-toil and many without
πραγμάτων γενέσθαι τοῦ βασιλέως. καὶ δὴ πρέσβεις
troubles to-become the emperor's and indeed envoys
τινὰς τῶν συνεποίκων στείλαντες, τάχα μὲν κρύφα,
some of-the fellow-inhabitants having-sent perhaps indeed secretly
μᾶλλον δὲ γινωσκομένους τοῖς πλείοσι, συμβιβάσεις μετὰ
rather but known to-the more agreements with
τοῦ βασιλέως πεποίηνται. χρυσόβουλλος γοῦν τῷ βασιλεῖ
the emperor made golden-bull then by-the emperor
τῶν ᾐτημένων σφίσι περιληπτικὸς γεγενημένος καὶ
of-the(-things) asked by-them comprehensive having-been-made and
δεδομένος τοῖς πρέσβεσι τοῖς τοῦ Μελενίκου ἀποσταλῆναι
given to-the envoys to-the — of-Melenikon to-be-sent
προσετάχθη οἰκήτορσι. καὶ οἳ μετ᾽ οὐ πολὺ ὁμοθυμαδὸν
was-ordered inhabitants and who after not much with-one-mind
πάντες συνειλεγμένοι, ὅσοι τε τῶν προυχόντων,
all gathered as-many-as both of-the leading-men

ὅσοι τῶν ἐν στρατείᾳ κατειλεγμένων καὶ ὅσοι
as-many-as of-the(-ones) in military-service enrolled and as-many-as
κρείττους ἄλλως τῶν οἰκητόρων, πρὸς τὸν βασιλέα
better otherwise of-the inhabitants to the emperor
ἀφίκοντο, σκηνούμενον περὶ τόπον Βαλαβίσδαν οὕτω πως
arrived encamping about place Balabisda thus somehow
ἐπονομαζόμενον, ἄνδρες εὐσταλεῖς τε καὶ ἔντιμοι κἀκ
named men well-dressed both and honored and-from
μόνης θέας αἰδοῦς καὶ τιμῆς ἄξιοι, ὑπὲρ πεντακοσίους
only sight of-respect and of-honor worthy over five-hundred
τυγχάνοντες· οὓς αὐτὸς εἰρήκειν ἰδών· ‘ποία ὁπλομαχία
being whom I-myself I-had-said having-seen what fighting-in-arms
ἡμῖν αὐτοὺς παρεστήσατο; ἢ πόσαι φάλαγγες ἱππέων
for-us them presented or how-many phalanxes of-horsemen
τῶν τοσούτων περιεγένοντο; ἀλλ’ ἐν τῷ κρείττονι ῥᾷστα
of-the so-many overcame but in the better(-power) easiest
καὶ τὰ μικροῦ δεῖν ἀνεπιχείρητα, κἀντεῦθεν δῆλον
also the(-things) of-little to-lack unattemptable and-hence clear
ὡς ἀληθές ἐστι τὸ τῷ ἀποστόλῳ Παύλῳ εἰρημένον,
that true is the(-thing) by-the apostle Paul said
‘οὐ τοῦ τρέχοντος οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ
not of-the(-one) running nor of-the(-one) pursuing but of-the
εὐδοκοῦντος θεοῦ.’ τῷ τοι καὶ τὸν στρατηγὸν οὐ
being-well-pleased God therefore indeed also the general not
δεῖ πάμπαν ἐπαινεῖν οὔτε μὴν ψέγειν. πολλὰ
it-is-necessary wholly to-praise nor indeed to-blame many(-things)
γάρ τινες διαγωνισάμενοι σπουδαίως τε καὶ συντόνως,
for some having-contended earnestly both and vigorously
δραστικώτερον τοῖς παροῦσι χρησάμενοι, μικρὸν ἢ οὐδὲν
more-effectively the present(-means) having-used little or nothing
κατωρθώσαντο, ἔνιοι δὲ καὶ ἐσφάλλοντο πλεῖστα· ἕτεροι
achieved some and also failed in-most(-things) others

δὲ δεξιᾶς ἠὐμοιρηκότες τύχης, ἀμελετήτως περὶ τὰ ἔργα
and of-right having-had-a-share fortune without-practice about the deeds
χωροῦντες μεγάλων τροπαίων ἐγένοντο αὐτουργοί, οἷόν
going of-great trophies became authors such-as
τι ξυνέβη τῷ τότε καὶ τῷ βασιλεῖ Ἰωάννῃ.
something happened at-the then(-time) also to-the emperor John
πολλῶν γὰρ ἄστεων καὶ χώρων πολλῶν ἐγεγόνει
of-many for towns and lands many had-become
δεσπότης ἐν ἀκαρεῖ, μή τινος πολέμου γεγενημένου
master in an-instant not any war having-happened
μηδέ τινος πεσόντος ἐν μάχῃ μηδὲ χυθέντος αἵματος
nor any having-fallen in battle nor shed blood
μηδὲ ξίφους κατορχησαμένου σώματος· ἀλλ' ἡμέρως
nor sword having-danced-over body but gently
καὶ γαληνῶς ὥσπερ τινὸς κλήρου πατρόθεν τούτῳ
and calmly as-if of-some inheritance from-father to-him
προσήκοντος ἀνιδιτὶ τῶν τοιούτων ἁπάντων κατῆρξε.
belonging without-sweat of-the such all he-took-control
Στενίμαχος γὰρ καὶ Τζέπαινα, καὶ ὅσα ἦν τῷ
Stenimachos for and Tzepaina and as-many-as were to-the
τῆς Ῥοδόπης ὄρει παρακείμενα πολίχνιά τε καὶ
— *of-Rhodope mountain lying-beside small-towns both and*
κωμοπόλεις, ὑπόφορα τούτῳ γεγένηνται, καὶ ὅρος αὐτῷ
market-towns tributary to-him became and boundary for-him
τε καὶ τοῖς Βουλγάροις Ἔβρος ἦν ποταμός. ἐκ δὲ
both and for-the Bulgarians Hebros was river from and
τοῦ πρὸς βορρᾶν μέρους Στούμπιόν τε καὶ Χοτοβὸς
the toward north part Stoumpion both and Chotobos
ὀχυρὰ ἄττα φρούρια καὶ χῶρος ὁ Βελεβουσδίου ὑπὸ
strong some fortresses and region the of-Belebousdion under
τοῦ βασιλέως ἦν, Σκόπιά τε καὶ Βελεσός· καὶ μέχρι
the emperor was Skopia both and Belesos and as-far-as

Πριλάπου καὶ τῶν Πελαγονίας χωρίων, Νευστάπολίς
Prilapos and the of-Pelagonia places Neustapolis
τε καὶ Πρόσακος, τὰ πάντα ὑπῆρξε τῷ βασιλεῖ
both and Prosakos the all were to-the emperor
ὑποχείρια. καὶ σπονδαὶ ἐπὶ τούτοις τῶν Βουλγάρων
subject and treaties upon these of-the Bulgarians
τῷ βασιλεῖ ἐγεγόνεισαν, τοῖς τοιούτοις καὶ μόνοις
with-the emperor had-been-made with-the such and only
ἀρκεῖσθαι τοῦτον καὶ μὴ περαιτέρω κατεπεμβαίνειν.
to-be-content him and not further to-trespass
καὶ ταῦτα μὲν οὕτως ἔσχον τὸν τρόπον, ἐγὼ δὲ
and these-things indeed so had the manner I and
αὐτὸς ἐν τοῖς ἐπιστολιμαίοις τῶν λόγων ὑπούργουν,
myself in the epistolary of-the letters served
ἑκάστῳ τῶν ἁλισκομένων ἄστεών τε καὶ χωρῶν καὶ
for-each of-the being-taken towns both and lands and
γραφὴν ἐγχαράττων βασιλικήν· ἔθος γὰρ τοῦτο παλαιὸν
writing engraving imperial custom for this old
τοῖς βασιλεῦσι Ῥωμαίων, δῆλα τοῖς μακρόθεν διὰ
for-the emperors of-Romans clear to-the(-ones) far-off through
γραμμάτων ποιεῖν τὰ σφῶν αὐτῶν κατορθώματα καὶ
letters to-make the of-themselves themselves successes and
πρὸς ἡδονὴν ἐπεγείρειν, ἧς δὴ καὶ οὗτοι διὰ τῶν
to joy to-rouse in-which indeed also these through the
ἔργων μεταλαγχάνουσιν.
deeds share
Ἐπεὶ γοῦν οὕτω ταῦτα διεπράχθη τῷ βασιλεῖ, πολλῆς 45
when then thus these-things were-accomplished for-the emperor of-much
μὲν ἡδονῆς αἴτια τούτῳ γεγενημένα, οὐχ ἧττον δὲ καὶ
indeed pleasure causes to-him having-become not less and also
πᾶσι Ῥωμαίοις αὔξησίν τινα κατιδοῦσι τοῦ κράτους καὶ
to-all Romans increase some having-seen of-the might and

πλατυσμὸν τῆς ἀρχῆς, ἦν μὲν πρὸς βουλήσεως
broadening of-the rule it-was indeed according-to wish
τῷ βασιλεῖ μνήσασθαι νόστου καὶ πρὸς τὴν ἕω
for-the emperor to-be-mindful of-return and to the east
ἐπαναζεῦξαι — καὶ γὰρ καὶ ὁ καιρὸς τοῦτο ἀπῄτει·
to-march-back also for also the season this demanded
μὴν γὰρ παρερρύη Ὀκτώβριος, καὶ περί που τὰ
month for had-flowed-past October and about somewhere the
μέσα τούτου διήρχετο ὁ Νοέμβριος — ἀλλά τις λόγος
middle of-it was-passing — November but some account
χρηστὸς καὶ πάνυ ὠφέλιμος ἐνεπόδιζε τὴν ὁρμήν. ἡ
good and very useful hindered the impulse —
γὰρ Θεσσαλονίκη, καθώσπερ προϊστορήσαμεν, τὸν τοῦ
for Thessalonica as we-told-before the —
Θεοδώρου υἱὸν τὸν Δημήτριον ἐγνώριζέ τε δεσπότην
of-Theodore son — Demetrios recognized both as-despot
καὶ κατωνόμαζε· δεσπότης γὰρ ἦν καὶ πρὸς τοῦ
and named despot for he-was also by the
βασιλέως τετιμημένος. ἐπεὶ δέ, ὡς προπεφθάκαμεν περὶ
emperor honored since and as we-anticipated about
τούτου ἐρεῖν, ἀτάσθαλον ἦν τὸ μειράκιον καὶ παιδιαῖς
this to-say reckless was the youth and with-games
ἐνσχολάζειν προσῆκον καὶ μειρακίων ἀθύρμασι, μή τοι
to-be-occupied fitting and of-youths with-toys not surely
γε ἀνδρῶν προϊστασθαι συνετῶν καὶ πολιτείας κατάρχειν
at-least men to-lead sensible and polity to-govern
καὶ νομίμως ἐπιστατεῖν, ἐπιβουλὴν κατ᾽ αὐτοῦ τινες
and lawfully to-preside plot against him some
ἐξαρτύουσιν, ὧν οἱ ὀνομαστοί τε καὶ γνώριμοι
contrive of-whom the(-ones) named both and known
Σπαρτηνὸς ἦσαν καὶ Καμπανός, ὁ Ἰατρόπουλός τε
Spartenos were and Kampanos — Iatropoulos both

καὶ ὁ Κουτζουλάτος, οἱ δὲ τῶν ἐπισήμων ὅ τε
and — Koutzoulatos the(-ones) and of-the distinguished — both
Μιχαὴλ ὁ Λάσκαρις καὶ ὁ Τζυρίθων, ὃν καὶ μέγαν
Michael the Laskaris and — Tzyrithon whom also great
χαρτουλάριον ὁ βασιλεὺς Ἰωάννης τετίμηκεν. ἄλλοι δὲ οἱ
chartoularios the emperor John honored others and the
τοῦ σκέμματος κοινωνοὶ οὔπω δῆλοι, ὡς αὐτοὶ σφίσι
of-the scheme sharers not-yet clear as themselves for-themselves
τοῦ πράγματος σὺν τῷ πλήθει γεγόνασιν, ἀλλ᾽ ἔμειναν
of-the matter with the multitude became but remained
ἀκατάγνωστοι τοῖς πλείοσιν. ἕνα γοῦν τούτων τῶν
unsuspected by-the most one then of-these the(-ones)
εἰρημένων, τὸν Καμπανόν, οἱ πάντες συσκευασάμενοι εἰς
said — Kampanos the all having-prepared to
τὸν αὐτοκράτορα Ἰωάννην ἐκπέμπουσι πραγματείας μὲν
the autocrat John send-out of-business indeed
προφάσεως χάριν, τῇ δ᾽ ἀληθείᾳ κοινοῦ χρυσοβούλλου
pretext for-the-sake in-the but truth common golden-bull
ἐπευμοιρῆσαι, τῶν ἀνέκαθεν προσαρμοσάντων Θεσσαλονίκῃ
to-obtain of-the from-of-old having-belonged to-Thessalonica
ἐθίμων τε καὶ δικαίων περιεκτικοῦ καὶ τῆς σφῶν
customs both and rights comprehensive and of-the their
ἐλευθερίας παρεκτικοῦ. ὁ μὲν οὖν βασιλεὺς πάντα
freedom granting the indeed then emperor all(-things)
τε τούτοις κατὰ σκοπὸν ἐπεπράχει καὶ δωρεῶν
both for-these according-to aim had-done and of-gifts
ὑποσχέσεις τοῖς ὑπηρετήσουσι τῇ πράξει καὶ ἐγγράφους
promises to-the(-ones) about-to-serve the deed also in-writing
τίθησι.
sets

Ταῦτα δὴ ἐς τὸ ἀσφαλὲς οἰκονομήσας ὁ βασιλεὺς
these-things indeed to the safe having-arranged the emperor
ἀπάρας τῶν Μελενίκου χωρίων περὶ τὴν Θεσσαλονίκην
having-set-out from-the of-Melenikon places about — Thessalonica
ἐφέρετο, πρότερον ἐξαποστείλας πρέσβεις εἰς τὸν Δημήτριον,
was-borne before having-sent-out envoys to — Demetrios
ὡς ἂν κατὰ τὰς αὐτοῦ ὑποθήκας ἀφίκοιτο εἰς αὐτὸν
that — according-to the his counsels he-should-come to him
καὶ ἀφοσιώσοι τὸ ὄφλημα· οὕτω γὰρ συνέθετο καὶ
and should-discharge the debt so for he-had-agreed and
κατώμοσεν. ὁ δὲ — οὐδὲ γὰρ εἶχε νοεῖν οἴκοθεν —
sworn he but not-even for he-could to-think from-himself
τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος οἴκοι καταμένειν
the plotting counselors using at-home to-remain
ἐπείθετο· σκευωρίαν γὰρ ἔφασκον εἶναι κατ᾽ αὐτοῦ
was-persuaded plot for they-said to-be against him
τὴν τοῦ βασιλέως μετάκλησιν. κοῦφος δὲ ὢν οὗτος
the of-the emperor summons light and being this(-man)
τὰς φρένας τοῖς αὐτῶν λόγοις συνεφέρετο, ὅποι καὶ
the wits with-the their words was-carried-along wherever also
νεύοιεν. ξυνέβη δὲ κἀν τούτοις, ὅπερ ὡς ἥδυσμά
they-should-incline it-happened and also-in these which as relish
τι παραθήσω τοῖς λόγοις. τὸν Καμπανὸν — ἕνα
something I-will-set-beside the accounts — Kampanos one
δὲ τοῦτον τῶν συνιστόρων τοῦ δόλου προείπομεν εἶναι
and this(-man) of-the accomplices of-the guile we-said-before to-be
— τὰ οὐχ ὑπὲρ Δημητρίου φρονοῦντα ἀπήγγειλάν
the(-things) not for Demetrios thinking reported
τινες, ἐπεὶ καὶ ἐκ βασιλέως ἐπανέζευξε. καὶ ὃς παρέστη
some since also from emperor he-returned and who stood-by
τῷ Δημητρίῳ καὶ κατηγορεῖτο πρὸς τῶν ἀληθῆ
— Demetrios and was-accused by the(-ones) true(-things)

κατ᾽ αὐτοῦ φασκόντων, ὡς ‘ῥαδιουργῶν κρύφα καὶ
against him saying that intriguing secretly also
ἀποπειρᾶται τοῦ λαοῦ καὶ γραφαὶ πρὸς αὐτοῦ τῷ
he-tests the people and writings from him to-the
βασιλεῖ πέμπονται καὶ λόγοι μυστηριώδεις διαμηνύονται.’
emperor are-sent and words secret are-communicated
καὶ ἦν πρὸς τῇ τοιαύτῃ ἐξετάσει ὁ Καμπανός. ὁ γοῦν
and was at the such examination — Kampanos — then
Σπαρτηνός, συμμύστης ὢν τῶν πραττομένων, περὶ
Spartenos fellow-initiate being of-the(-things) being-done about
τῶν τοιούτων μεμαθηκὼς τάχος ἐκεῖσε φέρεται, καὶ ὡς
the such(-things) having-learned quickly there is-borne and as
εἶχεν ἄσθματος καὶ σπουδῆς ‘τί φησι ‘περὶ τοῦδε τοῦ
he-had of-panting and of-haste what says about this the
ἀλιτηρίου κατηγοροῦσί τινες, δέσποτα, ὃς εἰ ἁλῴη
wretch accuse some master who if he-should-be-caught
τοιοῦτος, πολλῶν θανάτων κριθείη ἂν ἄξιος;’ καὶ ὁ
such of-many deaths would-be-judged — worthy and —
Δημήτριος — ἐθάρρει γὰρ μάλα τούτῳ ὡς πιστῷ καὶ
Demetrios trusted for very this(-man) as faithful and
πάνυ τοῦτον εὐνούστατον κατὰ τὸν κωμικὸν ὄντα εἰ
very him most-loyal according-to the comic(-poet) being if
καὶ μὴ κλεπτίστατον ἤγητο — ‘προδότην τοῦτον,
even not most-thievish had-considered traitor this(-man)
Σπαρτηνέ, φασὶν εἶναι οἱ τοῦτον διώκοντες.’ ὁ δὲ
Spartenos they-say to-be the(-ones) him prosecuting he and
παίει τὸν Καμπανὸν κατὰ τῆς σιαγόνος τῷ καρπῷ,
strikes — Kampanos on the jaw with-the wrist
σφόδρα χρησάμενος τῇ βολῇ, καὶ λαβόμενος τούτου τῆς
violently having-used the blow and having-seized his the
γένυος ‘ἐγὼ αὐτόν’ φησιν ‘ἐν τοῖς οἴκοι ἀπαγαγών,
beard I him says in the(-rooms) at-home having-led-away

δέσποτα, ἐτασμοῖς ἐκπνεύσας τὸ πρῶτον, πάντα τοῦτον
master by-torments breathing-out the first all this(-man)
καταναγκάσω ἔκφορα ποιῆσαι τὰ κρύβδην τούτῳ
I-will-compel manifest to-make the(-things) secretly by-him
ῥᾳδιουργούμενα.' ταῦτ' εἶπε, καὶ ὡς εἶχε τάχους ἐς τὴν
being-intrigued these-things he-said and as he-had of-speed to the
οἰκίαν ἀπῄει.
house went-off
Τὸν μὲν οὖν Καμπανὸν τὸ ἀπὸ τοῦδε κλίνη εἶχε
— indeed then Kampanos the from this(-time) bed had
καὶ στιβὰς ὑψηλὴ πρὸς ἀνάπαυσιν καὶ τὰ εἰς
and mattress high for rest and the(-things) for
τρυφὴν μᾶλλον ἐφευρημένα, οἷς καὶ μᾶλλον χαίρουσιν
luxury rather devised in-which also rather rejoice
ἄνθρωποι οἱ τοιαῦτα μεμελετηκότες διαπράττεσθαι
men the(-ones) such having-practiced to-accomplish
πράγματα. ὡς δὲ καί τινες ἔφασαν, ἀσκὸν διαφυσῆσας
affairs as and also some said wineskin having-blown-up
ὁ Σπαρτηνὸς καὶ πληρώσας τοῦ πνεύματος, εἶτα
— Spartenos and having-filled with-the breath then
δεσμεύσας ὡς ἐντὸς ἅπαν ἐναποληφθῆναι πνεῦμα μή
having-tied so-that within all to-be-shut-in breath not
τινος οὔσης τούτῳ τῆς ἐκροῆς, ἀπαιωρήσας ἔτυπτε
any being for-it of-the outflow having-hung-up beat
ῥάβδοις τάχα τὸν Καμπανόν, ἐτάζων ἀποκαλύψαι τὰ
with-rods supposedly — Kampanos questioning to-reveal the
κρύφα. ἀσκὸς δὲ ἦν, οὐ Καμπανός, ὁ τυπτόμενος.
secret(-things) wineskin and was not Kampanos the(-one) being-beaten
ἐπεὶ δὲ ἡ ἀρκοῦσα ὥρα παρήει ἡ καὶ ἄξιον ἐτασμὸν
when and the sufficient hour passed the(-one) also worthy questioning
δεδυνημένη ποιήσασθαι καὶ ἔκπυστον θεῖναι καὶ τὸ ἐν
having-been-able to-make and disclosed to-set also the in

μυχοῖς βαθυτάτοις ἐγκείμενον ἄρρητον, ὡς εἶχε ποδῶν ὁ
recesses deepest lying unspeakable as he-had of-feet —
Σπαρτηνὸς ἀφίκετο πρὸς τὸν Δημήτριον καί οἱ φησι·
Spartenos came to — Demetrios and to-him says
‘δέσποτα, ὅρκῳ σε πιστώσω τὸ πρᾶγμα· μὰ τὸν σὸν καὶ
master by-oath you I-will-assure the matter by the your and
ἡμῶν ἁπάντων Δημήτριον, τὸν κηδεμόνα τῆς Θεσσαλονίκης
of-us all Demetrios the guardian — of-Thessalonica
καὶ πολιοῦχον’ — οὗτος δὲ ὁ ὅρκος παρὰ Θεσσαλονικεῦσι
and city-protector this and the oath among Thessalonians
πλέον τῶν ἄλλων ἰσχύει ὅρκων — ‘τοιοῦτός ἐστιν
more than-the other prevails oaths such is
ὁ Καμπανὸς ὁποῖός ἐστιν ὁ Σπαρτηνός, καὶ οὕτω
— Kampanos as is — Spartenos and so
διάκειται περί σε καθά γε δὴ καὶ ὁ Σπαρτηνός, ὃν
is-disposed toward you as at-least indeed also — Spartenos whom
ἁπάντων ἀνθρώπων πλέον σε φιλοῦντα ἐπέγνωκας.’ οὕτως
of-all men more you loving you-have-recognized thus
ὁ Σπαρτηνὸς τὴν μέλλουσαν φωραθῆναι ῥᾳδιουργίαν
— Spartenos the about-to be-detected intrigue
οἰκονομικῶς διεσκέδασεν.
managingly scattered
Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης ἀπάρας τὰ στρατεύματα
the indeed then emperor John having-set-out the armies
ἐπὶ τὴν Θεσσαλονίκην ἐξ ὀρθοῦ χωρεῖ καὶ περὶ ταύτην
to — Thessalonica from straight goes and about it
ἐστρατοπεδεύσατο. πολιορκῆσαι μὲν γὰρ οὐκ ἦν αὐτῷ
encamped to-besiege indeed for not was for-him
— οὐ γὰρ ἀρκούσας εἶχε τὰς ἐπὶ τούτῳ δυνάμεις
not for sufficient he-had the for this forces
— πρεσβείας δὲ ἐποίει καὶ ἐζήτει ἐξελθεῖν πρὸς αὐτὸν
embassies but he-made and asked to-come-out to him

τὸν Δημήτριον, καθὼς ἦν ὀμωμοσμένον αὐτῷ, ἔτι δὲ
— *Demetrios as it-was sworn to-him still and*
ποιῆσαι καὶ ἀγορὰν ἔξω τῆς Θεσσαλονίκης, ὡς ἂν
to-make also market outside — Thessalonica so-that —
ἔχοιεν ὠνεῖσθαι τὰ χρειώδη τὰ στρατεύματα. ὁ δὲ
might-be-able to-buy the necessities the armies he but
τοῖς ἐπιβούλοις συμβούλοις χρώμενος οὐδέν τι τῶν
with-the plotting counselors dealing nothing at-all of-the
τοιούτων ποιῆσαι παρεχωρεῖτο. πάνυ δὲ ὀλίγων ἡμερῶν
such(-things) to-do conceded very and few days
παραδραμουσῶν, ὀλίγου τινὸς στρατεύματος πλησίον
having-run-past small some army near
ἱσταμένου τῆς μικρᾶς πύλης τῆς παρὰ τῇ θαλάσσῃ
standing the small gate the(-one) by the sea
ἐπονομαζομένης διὰ τὸ μὴ ἀπροόπτως ἐξελθεῖν τινας
named because-of the not without-warning to-come-out some
τῶν τῆς πόλεως καί τινας λυμαίνεσθαι τῶν ἐκ
of-the(-ones) of-the city and some to-harm of-the(-ones) from
τοῦ στρατοῦ, ἐξαπίνης ἐκ ταύτης ἐγεγόνει βοή, ὡς
the army suddenly from this arose shout that
ἤνοικται ἡ πύλη παρά τινων τῶν ἐντός. καὶ τῇ
has-been-opened the gate by some of-the(-ones) within and the
βοῇ συνείπετο ἡ παραφυλάττουσα δύναμις, καὶ σύμπαν
shout followed the guarding force and whole
τε τὸ στράτευμα ὁπλισθὲν μετὰ τοῦ κρατοῦντος ἐφοίτα
both the army armed with the ruling(-one) went
καὶ ἐν ἀκαρεῖ πάντας εἶχεν ἡ Θεσσαλονίκη τοὺς
and in an-instant all had — Thessalonica the(-men)
τοῦ βασιλέως ἐντός. ὁ δὲ βασιλεὺς ἔστη παρὰ τὴν
of-the emperor within the and emperor stood by the
πρὸς ἀνατολὰς βλέπουσαν πύλην τῆς πόλεως. καὶ ἡ
toward east looking gate of-the city and the

τοῦ Δημητρίου ἀδελφὴ Εἰρήνη, τοῦ Βουλγάρων Ἀσὰν
— *of-Demetrios sister Irene — of-Bulgarians of-Asan*
γαμετή, παρέστη γονυπετοῦσα καὶ ποτνιωμένη, μὴ παθεῖν
wife stood-by kneeling and imploring not to-suffer
τὸν ἀδελφὸν αὐτῆς τῶν ὀφθαλμῶν στέρησιν. ὁ δὲ
the brother her of-the eyes deprivation — and
Δημήτριος ἔφθη εἰς τὴν ἀκρόπολιν ἀναβάς. ἐγγύας
Demetrios had-anticipated to the citadel having-gone-up pledges
δὲ ἐνωμότους πρὸς τοῦ βασιλέως λαβοῦσα, ὡς οὐκ
and sworn from the emperor having-received that not
ἀπολέσει οὗτος τοὺς ὀφθαλμούς, ἀπῄει τε παρὰ τὸν
will-lose he the eyes she-went-off both to the
ἀδελφὸν καὶ πρὸς τὸν βασιλέα τοῦτον ἐξήγαγεν. ἦν
brother and to the emperor him brought-out was
δὲ φέρων οὗτος τὴν ἡλικίαν τοῦ μείρακος, προσεχῶς
and bearing this(-man) the age of-the youth closely
εἰς αὐτὴν παραγγείλας καὶ μήπω χνοάζων τὸ γένειον,
into it having-entered and not-yet downy the chin
ὡραῖος δὲ τὸ εἶδος καὶ τὴν φυήν. τετίμηκε δὲ ταύτην
handsome and the form and the stature honored and her
ὁ βασιλεύς, οἷα ἐκείνης σχηματιζόμενος τὴν ταπείνωσιν.
the emperor as of-that(-lady) assuming the humility
ὡς γὰρ ἀπέβη αὕτη τοῦ ἵππου, τηνικαῦτα καὶ ὁ
as for dismounted she from-the horse then also the
βασιλεὺς τοῦ οἰκείου ὀχήματος ἀποβὰς πεζὸς ἕστηκε
emperor from-the own vehicle having-dismounted on-foot stood
σὺν αὐτῇ. ἡ μὲν οὖν πόλις Θεσσαλονίκη οὕτως ὑπὸ
with her the indeed then city Thessalonica thus under
τὸν βασιλέα γέγονεν Ἰωάννην, μᾶλλον δὲ ὑπὸ Ῥωμαίους·
the emperor became John rather and under Romans

οἱ γὰρ αὐτὴν κρατοῦντες ἐναντιόφρονες Ῥωμαίοις
the(-ones) for it holding contrary-minded to-Romans
ἐτέλουν.
were

46 Ὀλίγας δὲ πάνυ ἡμέρας ἐν τῇ Θεσσαλονίκῃ προσκαρτερήσας
few and very days in — Thessalonica having-stayed
ὁ βασιλεύς — κατήπειγε γὰρ αὐτὸν ὁ τοῦ χειμῶνος
the emperor was-pressing for him the of-the winter
καιρός· Δεκέβριος γὰρ ἐτύγχανε μήν — ἀφεὶς ἐν
season December for happened month having-left in
αὐτῇ τὸν μέγαν δομέστικον τὸν Κομνηνὸν Ἀνδρόνικον
it the great domestic — Komnenos Andronikos
τὸν Παλαιολόγον, οὗ πολλάκις ἐμνήσθημεν, τὰ πρῶτα
the Palaiologos whom often we-have-mentioned the first(-places)
φέροντα τῶν ἐν στρατηγίαις τεταγμένων, ἄνδρα
bearing of-the(-ones) in generalships ranked man
συνετώτατον καὶ πραότατον καὶ εὖ εἰδότα καὶ μάχῃ
most-intelligent and most-gentle and well knowing both for-battle
ὁπλίσαι καὶ διευθῦναι λαὸν καὶ ἐν πολεμικοῖς καὶ εἰρηνικοῖς
to-arm and to-direct people and in warlike and peaceful
τοῖς καιροῖς, νικητὴς ἐπανέζευξεν εἰς τὴν ἕω, θαυμαζόμενος
the times victor marched-back to the east being-admired
ὑπὸ πάντων καὶ κλεϊζόμενος τῆς ταχινῆς οὕτω καὶ
by all and being-celebrated for-the swift so and
μεγίστης νίκης, οὐχ ὑπὸ τῶν οἰκείων μόνων ἀλλὰ καὶ
very-great victory not by the own only but also
ὑπὸ τῶν ἀλλοτρίων· ὑπὲρ φυσικὴν γὰρ τάξιν ἔδοξε τὸ
by the strangers above natural for order seemed the
κατόρθωμα καὶ τῶν τροπαίων τὸ ἀλλεπάλληλον, καὶ
success and of-the trophies the one-after-another and
θεοῦ μᾶλλον προνοίᾳ ἢ στρατηγικαῖς μεθόδοις ταυτὶ
of-God rather by-providence than by-strategic methods these-things

διαπράξασθαι. καταλέλοιπε δὲ καὶ εἷς τε τοῦ Μελενίκου
to-accomplish he-left and also for both — of-Melenikon
καὶ τῶν Σερρῶν καὶ τῶν περὶ αὐτὰς φυλακὴν
and — of-Serres and of-the(-places) around them guard
τὸν τοῦ εἰρημένου μεγάλου δομεστίκου πρῶτον υἱὸν τὸν
the of-the said great domestic first son —
Κομνηνὸν Μιχαήλ, ὃν μετὰ χρόνους τινὰς ἡ τῶν
Komnenos Michael whom after years some the of-the
Ῥωμαίων βασιλεία πεπλούτηκεν εἰς εὐτυχίαν ταύτης καὶ
Romans empire has-gained-as-wealth for good-fortune its and
εὐδοξίαν, ἄλλον τε ἀλλαχοῦ ἐπαφῆκεν εἰς ἀσφάλειαν τῶν
good-repute another both elsewhere he-sent for safety of-the
χωρῶν τε καὶ πόλεων, ἐπάνω δὲ πάντων τὸν μέγαν
lands both and cities above and all the great
δομέστικον, ὡς ἂν ὑπείκοιντο πάντες αὐτοῦ τοῖς
domestic so-that — might-yield all him to-the(-things)
ὑπ᾽ αὐτοῦ λεγομένοις τε καὶ προσταττομένοις. ὁ μὲν
by him said both and ordered the indeed
οὖν βασιλεὺς εἰς τὰ τῆς ἕω μέρη διαπεράσας διῆγε, καὶ
then emperor to the of-the east parts having-crossed spent-time and
τὸν Δημήτριον, ὃν τῆς Θεσσαλονικέων ἀρχῆς καθεῖλεν,
— Demetrios whom from-the of-Thessalonians rule he-had-deposed
ἐν τῷ φρουρίῳ καθείρξας τῶν Λεντιανῶν ἐτήρει. ὁ δὲ
in the fortress having-shut-up — of-Lentiana guarded the and
μέγας δομέστικος ὀλίγον ἐπιβιοὺς χρόνον καὶ καλῶς
great domestic little having-survived time and well
διαπρέψας ἐν τῇ τούτου ἀρχῇ, νοσήσας καὶ
having-distinguished-himself in the his rule having-fallen-ill and
τὴν τρίχα ἀποκαρεὶς τὸ βιοῦν ἐξεμέτρησεν· ἀπεστάλη
the hair having-been-shorn the living measured-out was-sent
δὲ ἀντ᾽ αὐτοῦ Θεόδωρος ὁ Φιλῆς διέπειν τὰ τῆς
and instead of-him Theodore the Philes to-manage the(-affairs) of-the

ἀρχῆς. ἐπεὶ δὲ ὑπὸ τὸν βασιλέα ἐγεγόνει Θεσσαλονίκη
rule when and under the emperor had-come Thessalonica
καὶ Βέρροια, τὰ ἐκεῖθεν αὐτῶν καὶ πρὸς δυσμὰς
and Berrhoia the(-places) beyond them and to west
ἀπὸ τοῦ Πλαταμῶνος ἀρχόμενα ὑπὸ τὸν δεσπότην
from — Platamon beginning under the despot
Μιχαὴλ ἐτέλουν, ἔτι τε τὰ περὶ Πελαγονίαν καὶ
Michael were still both the(-places) about Pelagonia and
Ἀχρίδα καὶ Πρίλαπον· τοὺς δὲ Βοδηνοὺς καὶ Σταρίδολα,
Ochrid and Prilapos the and Bodena and Staridola
Στροβόν τε καὶ τὰ περὶ ταῦτα ὁ τοῦ Δημητρίου
Strobos both and the(-places) around these the — of-Demetrios
πατήρ, τοῦ Μιχαὴλ δὲ θεῖος, ὁ Ἄγγελος κατεῖχε
father — of-Michael and uncle — Angelos held
Θεόδωρος.
Theodore

47 Ὁ μὲν οὖν βασιλεὺς ἐν τοῖς τοῦ Νυμφαίου παραχειμάσας,
the indeed then emperor in the(-parts) — of-Nymphaion having-wintered
ἦρος φανέντος, ὥσπερ εἰώθει, ἐξῄει ἐκεῖθεν. ἐκεχειρίαν
spring having-appeared as he-was-wont went-out thence truce
δὲ ἔχων ἐξ ἁπάντων, τοῖς πλησιάζουσιν ἄστεσι τῇ
and having from all with-the neighboring towns to-the
Κωνσταντίνου καὶ παρὰ Λατίνων κεκρατημένοις, τῇ
of-Constantine and by Latins held —
Τζουρουλῷ φημι καὶ τῇ Βιζύῃ, ἐπιθέσθαι τεθέληκεν·
Tzouroulos I-mean and — Bizye to-attack wished
ἑώρα καὶ γὰρ πάνυ τὰ τῶν Λατίνων ἠσθενημένα.
he-saw also for very the(-affairs) of-the Latins weakened
διαπεραιωθεὶς γοῦν τὸν Ἑλλήσποντον ἐν τῇ Τζουρουλῷ
having-crossed then — Hellespont at — Tzouroulos
τὸ πρῶτον ἀφίκετο. ἦν δὲ ἐντὸς τοῦ ἄστεος ἡ τοῦ
the first arrived was and within the town the of-the

βασιλέως γυναικαδέλφη Εὐδοκία, ἣν ὁ Ἀσὲλ δε Κάε
emperor sister-in-law Eudokia whom — Ansel de Cayeux
εἰς γυναῖκα ἠγάγετο τῆς ἀδελφῆς αὐτῆς τῆς βασιλίδος
as wife took of-the sister her the empress
Εἰρήνης καὶ τοῦ γαμβροῦ καὶ βασιλέως θελήματι. ὁ μὲν
Irene and of-the brother-in-law and emperor by-will — indeed
οὖν Ἀσὲλ δε Κάε οὐκ ἐκαρτέρησεν ἐν τῷ ἄστει· τὴν γὰρ
then Ansel de Cayeux not held-out in the town the for
τοῦ βασιλέως ἐπεγνωκὼς ἔφοδον ἐκεῖνος μὲν ἐξῄει, τὴν
of-the emperor having-recognized attack he indeed went-out the
δὲ σύζυγον αὐτοῦ Εὐδοκίαν εἴασεν ἐν τῷ ἄστει, φυλακὴν
but wife his Eudokia let(-stay) in the town guard
ἱκανὴν συνεπιστήσας αὐτῇ· ἔδοξε γὰρ αὐτῷ, ὡς διὰ
sufficient having-set-over-with her it-seemed for to-him that because-of
τὴν αὐτοῦ γυναικαδέλφην οὐκ ἂν βουληθείη ὁ βασιλεὺς
the his sister-in-law not — would-wish the emperor
πορθῆσαι τὸ ἄστυ. ἐκεῖνος δὲ τὰ πολλὰ παρορῶν τῶν
to-sack the town he but the much overlooking of-the
τοιούτων, παρεκάθισε τῷ ἄστει καὶ ἑλεπόλεις ἔστησε
such(-things) sat-down-before the town and siege-engines set-up
καὶ μηχανήματα καταβλητικὰ τῶν ἐπάλξεων, καὶ διὰ
and engines for-throwing-down of-the battlements and in
μετρίων πάνυ τῶν ἡμερῶν ἐχειρώσατο· καὶ τὴν μὲν αὐτοῦ
moderate very the days subdued and the indeed his
γυναικαδέλφην εἰς τὴν Κωνσταντινούπολιν ἐξαπέστειλεν,
sister-in-law to — Constantinople sent-off
ἕνα ἵππον αὐτῇ δοὺς ἵν' ἐποχῆται, πάντας δὲ
one horse to-her having-given that she-might-ride all and
τοὺς εἰς φυλακὴν τοῦ ἄστεος ὄντας πεζοὺς ἀπέλυσεν.
the(-ones) on guard of-the town being on-foot released
ἀλλὰ καὶ τὸ τῆς Βιζύης ἄστυ στρατιὰν ἐκπέμψας διὰ
but also the — of-Bizye town army having-sent-out in

βραχέος κεχείρωκε, καὶ συνήγαγε καὶ τοῦτο τῇ τούτου
short(-time) subdued and joined also this to-the his
ἐπικρατείᾳ.
dominion

48 Κατὰ τοὺς καιροὺς τούτους ἑάλω καὶ τὸ ἄστυ τῆς νήσου
at the times these was-taken also the town of-the island
Ῥόδου ὑπὸ Γενουϊτῶν νυκτὸς κλοπῇ. ὁ γὰρ κρατῶν
Rhodes by Genoese by-night by-theft the for holding
αὐτὸ Ἰωάννης ὁ Γαβαλᾶς, ὁ τοῦ καίσαρος Λέοντος τοῦ
it John the Gabalas the of-the caesar Leo the
Γαβαλᾶ ἀδελφός, ὁ καὶ μετὰ θάνατον τοῦ ἀδελφοῦ
Gabalas brother the(-one) also after death of-the brother
αὐτοῦ τῆς νήσου δεσπόζων, ἀποδεδημήκει, μετὰ τοῦ
his of-the island being-master had-gone-abroad with the
βασιλέως κατὰ τῶν ἐν Κωνσταντινουπόλει ὡρμημένος
emperor against the in Constantinople having-set-out
Λατίνων περὶ τὰ μέρη τῆς Νικομηδείας διάγοντος.
Latins about the parts — of-Nicomedia staying
εὐθὺς οὖν βασιλικῇ προσταγῇ στέλλεται ὁ ἐπὶ τοῦ
at-once then by-imperial order is-sent the(-one) over the
κεράσματος Ἰωάννης ὁ Καντακουζηνός· οὗτος γὰρ ἔτυχε
mixing-cup John the Kantakouzenos this(-man) for happened
τῷ τότε τὴν δουκικὴν τῶν Θρακησίων ἀνεζωσμένος
at-the then(-time) the ducal — of-Thrakesioi having-girded-on
ἀρχήν. καὶ εἰσῆλθεν ἐντὸς τῆς νήσου μετὰ μετρίων
office and entered within the island with moderate
τινῶν δυναμένων ὅπλα κινεῖν, καὶ φθάνει κατασχεῖν
some able arms to-move and manages to-seize
τὸ ἐν αὐτῇ φρούριον τὸ ἐπονομαζόμενον Φιλέρημον.
the in it fortress the(-one) named Phileremos
ἐμάχετο οὖν ὡς εἶχε δυνάμεως τοῖς Γενουΐταις. ἐπεὶ
fought then as he-had of-power with-the Genoese when

δὲ ἀξιόμαχος ἀπεστάλη τούτῳ στρατός, ἐγγύς που
and fit-for-battle was-sent to-him army near somewhere
τοῦ ἄστεος πηξάμενος τὰς σκηνὰς ἐπολιόρκει τοὺς
the town having-pitched the tents besieged the
ἐντὸς Γενουΐτας, οὐ κατέβλαπτε δὲ αὐτούς, τροφῶν
within Genoese not harmed but them of-provisions
γὰρ ηὐπόρουν διαρκῶν· τὰς γὰρ τῶν Ῥοδίων οἰκίας
for they-were-supplied sufficient the for of-the Rhodians houses
πλήρεις εὑρόντες τῶν ζωαρκῶν οὐδενὸς τῶν ἀναγκαίων
full having-found of-the necessities-of-life of-nothing of-the necessary(-things)
ἐσπάνιζον. συνεκοιτάζοντο δὲ καὶ ταῖς τούτων γυναιξίν,
lacked slept-with and also the their wives
εἰ μή τινα ἔξωρον οὖσαν ἢ τὸ εἶδος οὐκ ἀγαθὴν
if not some out-of-season being or the form not good
ἀπήλασαν ἔξω. καὶ τάχος μὲν ἂν τὸ τῆς Ῥόδου ἄστυ
they-drove-away outside and quickly indeed — the — of-Rhodes town
ὑπὸ Ῥωμαίους ἐγένετο τῇ συνεχεῖ πολιορκίᾳ τοῦ
under Romans would-have-come by-the continual siege —
Καντακουζηνοῦ καὶ ταῖς εὐμηχάνοις τούτου ὁπλομαχίαις,
of-Kantakouzenos and by-the resourceful his fighting-in-arms
εἰ μή τι ξυνέβη τοιοῦτον. ὡς γὰρ ὁ τῆς Ἀχαΐας
if not something happened such as for the — of-Achaia
πρίγκιψ Βιλαρδουὶν εἰς τὴν Συρίαν ἀνήγετο, συμμαχίαν
prince Villehardouin to — Syria was-putting-to-sea alliance
ἐπάγων τοῖς εἰς Συρίαν ἀφικομένοις Φράγγοις, κἀν ταῖς
bringing to-the to Syria having-arrived Franks and-in the
τριήρεσιν αὐτοῦ ὁπλίτας εἶχεν ἱππότας, προσώκειλε δὲ
triremes his armed-men he-had knights put-in and
τῇ νήσῳ Ῥόδῳ, συνθήκην μετὰ τῶν ἐν αὐτῇ Γενουϊτῶν
at-the island Rhodes agreement with the in it Genoese
ἐποιήσατο, καὶ καταλέλοιπε παρ᾽ αὐτοῖς ἄνδρας εὐγενεῖς
made and left with them men noble

καὶ ἀγαθοὺς ἱππεῖς ἐγγύς που τῶν ἑκατόν. τοῦτο
and good horsemen near somewhere the hundred this
τοὺς Ῥωμαίους ὑποχωρῆσαι τῆς πολιορκίας τοῦ ἄστεος
the Romans to-withdraw from-the siege of-the town
κατηνάγκασε καὶ εἰς τὴν Φιλέρημον ἐμφιλοχωρεῖν. οἱ
compelled and in — Phileremos to-linger the
μὲν οὖν καταλελειμμένοι παρὰ τοῦ πρίγκιπος ἱππεῖς,
indeed then left-behind by the prince horsemen
καταλιμπάνοντες τοὺς πεζοὺς Γενουΐτας περὶ τῷ ἄστει,
leaving-behind the foot Genoese at the town
ἐξήρχοντο καὶ τὴν πᾶσαν χώραν ἐλήιζον. τὰ μὲν οὖν
went-out and the whole land plundered the indeed then
χρειώδη ἑαυτοῖς περιεποιοῦντο, σπάνιν δὲ τῶν ἀναγκαίων
necessities for-themselves they-procured scarcity and of-the necessary(-things)
τοῖς Ῥωμαίοις ἐκ τούτου συνέβη γίνεσθαι, ἐφ' ᾧ
for-the Romans from this happened to-come on which
τυγχάνειν δρόμωνας καὶ ἕτερα ξύλα τοῖς Γενουΐταις
to-happen fast-ships and other vessels for-the Genoese
πειρατικά.
piratical

Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης τὸ Νύμφαιον καταλαβὼν
the indeed then emperor John — Nymphaion having-reached
καὶ στόλον συσκευασάμενος ἀξιόμαχον ἐν τῇ Σμύρνῃ,
and fleet having-equipped fit-for-battle in — Smyrna
ἱππαγωγούς τε τριήρεις οἰκονομήσας ὡς μέχρι καὶ
horse-transport both triremes having-arranged so-that up-to also
τῶν τριακοσίων ἵππων ἐπιφέρεσθαι, καὶ εἰς στρατηγὸν
the three-hundred horses to-carry and as general
αὐτοῖς ἀποτάξας τὸν Κοντοστέφανον Θεόδωρον τὴν
for-them having-appointed — Kontostephanos Theodore the
τοῦ πρωτοσεβαστοῦ ἀξίαν διέποντα, καὶ ὅπως μέλλει
of-the protosebastos dignity holding and how he-is-to

τὰ τῆς μάχης καταρτίσαι τε καὶ συντάξαι ποῦ
the(-affairs) of-the battle to-equip both and to-arrange where
τε καὶ ὅτε, ἐγγράφως αὐτῷ παραδούς, ἐξαπέστειλεν,
both and when in-writing to-him having-handed-over sent-off
ἐπευξάμενος τούτῳ τε καὶ τοῖς μετὰ τούτου τὰ
having-prayed for-him both and for-the(-ones) with him the
λῴονα. ὁ μὲν οὖν πρωτοσεβαστὸς Θεόδωρος, ταῖς
better(-things) the indeed then protosebastos Theodore in-the
τριήρεσιν ἀναχθεὶς καὶ εἰς τὴν νῆσον ἀφιγμένος Ῥόδον,
triremes having-put-to-sea and to the island having-arrived Rhodes
πάντα τε ὡς ὁ βασιλεὺς προσέταξε διαπραξάμενος,
all both as the emperor ordered having-accomplished
τοὺς Λατίνους κατετροπώσατο· ἔξω γὰρ ληϊζομένοις
the Latins routed outside for plundering
ἐντυχόντες τοῖς Λατίνοις οἱ τοῦ βασιλέως ἄρδην
having-met the Latins the(-men) of-the emperor utterly
πάντας σπάθης ἔργον πεποίηνται, τοῦ ἐπὶ τοῦ κεράσματος
all of-sword work made the over the mixing-cup
Ἰωάννου τοῦ Καντακουζηνοῦ ἐπισκηψαμένου μηδενὸς
John the Kantakouzenos having-enjoined none
αὐτῶν φείσασθαι. οἱ μὲν οὖν Φράγγοι οἱ ἱππεῖς
of-them to-spare the indeed then Franks the horsemen
βασιλικῇ εὐβουλίᾳ οὕτως ἀπώλοντο, οἱ πεζοὶ δὲ
by-imperial good-counsel thus perished the foot but
Γενουῖται ἐναπολειφθέντες τῷ ἄστει τῆς Ῥόδου κατεῖχον
Genoese left-behind in-the town — of-Rhodes held
αὐτὸ τοῖς ἔξω μαχόμενοι. ἐπεὶ δὲ οὐ δυνάμεως
it with-the(-ones) outside fighting when and not of-power
εἶχον εἰς μακρὸν ἀντέχειν, εἰς ξυμβιβάσεις συνῆλθον·
they-had for long to-hold-out to agreements came
καὶ παρέδωκαν μὲν τὸ ἄστυ τοῖς Ῥωμαίοις, αὐτοὶ
and handed-over indeed the town to-the Romans themselves

δὲ πρὸς τὸν βασιλέα ἀφίκοντο καὶ κατὰ τὰς
and to the emperor arrived and according-to the
γεγονυίας τούτοις συνθήκας τῆς βασιλικῆς εὐμενείας
made for-them agreements of-the imperial goodwill
ἀπήλαυσαν. καὶ οὕτω δὴ καὶ αὖθις ἡ νῆσος Ῥόδος
enjoyed and so indeed also again the island Rhodes
ὑπὸ Ῥωμαίους ἐγένετο· καὶ ταῦτα μὲν ξυμβέβηκεν
under Romans came and these-things indeed happened
οὕτως.
so

IX · MICHAEL OF EPIRUS AND THE TRIAL

John betroths his granddaughter to Michael of Epirus' son Nikephoros; Michael breaks faith, and John's campaign wins Kastoria and a treaty. Michael Palaiologos is accused of plotting and offered the ordeal of hot iron, which he refuses as barbarian; he is acquitted. John dies at Nymphaion after a long illness, and his son Theodore II succeeds.

49 Ὁ μὲν οὖν βασιλεὺς Ἰωάννης μετὰ τοῦ δεσπότου Μιχαὴλ
the indeed then emperor John with the despot Michael
συνθήκας πεποίηκε καὶ εἰς κήδους κοινωνίαν συνῆλθε·
agreements made and into of-marriage-alliance partnership came
τὸν γὰρ τοῦ Μιχαὴλ υἱὸν Νικηφόρον ἐπὶ τὴν θυγατέρα τοῦ
the for — of-Michael son Nikephoros to the daughter of-the
υἱοῦ αὐτοῦ τοῦ βασιλέως Θεοδώρου τὴν Μαρίαν γαμβρὸν
son his the emperor Theodore — Maria as-son-in-law
ἠγάγετο. καὶ ἡ τούτου γαμετὴ Θεοδώρα τὸν Νικηφόρον
took and the his wife Theodora — Nikephoros
μεθ' ἑαυτῆς λαβοῦσα εἰς τὴν ἕω διαπεραιοῦται καὶ περὶ τὰ
with herself having-taken to the east crosses and about the

μέρη τῶν Πηγῶν τῷ βασιλεῖ διάγοντι ἐντυγχάνει, καὶ ἡ
parts — of-Pegai the emperor staying meets and the
τῶν παίδων μνηστεία γεγένηται. καὶ ἡ Θεοδώρα αὖθις τὸν
of-the children betrothal was-made and — Theodora again the
υἱὸν αὐτῆς λαβοῦσα οἴκαδε ὑπεχώρησε παρὰ τὸν αὐτῆς
son her having-taken homeward withdrew to the her
σύζυγον Μιχαήλ, προσηκόντως φιλοφρονηθέντες παρὰ τοῦ
husband Michael fittingly having-been-welcomed by the
βασιλέως. ἀλλὰ τὸ τῆς παροιμίας κἀπὶ τῷ Μιχαὴλ
emperor but the(-saying) of-the proverb also-in — Michael
ἐπαληθεύειν ἐφαίνετο· τὸ στρεβλὸν ξύλον οὐδέποτ᾽ ὀρθόν,
to-come-true appeared the crooked wood never straight
καὶ ὁ Αἰθίοψ οὐκ οἶδε λευκαίνεσθαι. εἰς ἀποστασίαν γὰρ
and the Ethiopian not knows to-be-whitened to revolt for
τοῦ βασιλέως ἐφώρμησε, συμβούλῳ περὶ τὴν σκῆψιν
from-the emperor he-set-out as-counselor about the pretext
τῷ θείῳ αὐτοῦ τῷ Ἀγγέλῳ Θεοδώρῳ χρησάμενος. ὁ
the uncle his — Angelos Theodore having-used the
γοῦν βασιλεὺς Ἰωάννης ταῦτα γνοὺς καὶ τὴν αὐτῶν
then emperor John these-things having-known and the their
συνωμοσίαν μεμαθηκώς, οὐκ ἄλλους οἰόμενος εἶναι ἐναντίους
conspiracy having-learned not others thinking to-be opposed
τῇ τῶν Ῥωμαίων ἀρχῇ μετὰ τὴν τῆς Κωνσταντίνου
to-the of-the Romans rule after the of-the of-Constantine
ἅλωσιν ἀλλ᾽ ἢ τούτους, ἐπειδὴ καὶ ἐκεχειρίαν ἦγεν ἀπὸ
capture but than these since also truce he-kept from
τοῦ μέρους τῶν Μουσουλμάνων, ἠρέμουν δὲ καὶ τὰ
the part of-the Muslims were-quiet and also the(-affairs)
τῶν Βουλγάρων, ἀξιομάχως καὶ ὡς εἰπεῖν βασιλικῶς
of-the Bulgarians fit-for-battle and as to-say imperially
παρασκευασάμενος καὶ τὰς δυνάμεις ἁπάσας ὡς ἔδει
having-prepared and the forces all as it-was-necessary

συντάξας, διαπεραιοῦται τὸν Ἑλλήσποντον, πολλοὺς μὲν
having-arranged crosses — Hellespont many indeed
καὶ ἄλλους ἔχων στρατηγούς, τὸν δὲ Ταρχανειώτην
also other having generals — and Tarchaneiotes
Νικηφόρον τὸν ἐπὶ τῆς τραπέζης αὐτοῦ οἷον τὰ
Nikephoros the(-one) over the table his as-if the(-duties)
τοῦ μεγάλου δομεστίκου διεκπληροῦντα· ἐπανεπαύετο γὰρ
of-the great domestic fulfilling he-rested for
αὐτοῦ τοῖς ἤθεσι καὶ εὔνουν αὐτὸν ἐλογίζετο κἀν ταῖς
on-his the character and well-disposed him reckoned and-in the
στρατηγίαις, ὡς ἡ πεῖρα μεμαρτύρηκε, δεξιώτατον.
generalships as the trial has-witnessed most-skillful
Καταλαβὼν γοῦν τὴν Θεσσαλονίκην κἀκεῖθεν τὰς δυνάμεις
having-reached then — Thessalonica and-thence the forces
ἀπάρας ἐν τοῖς Βοδηνοῖς ἐστρατοπεδεύσατο. πέφθακε δὲ
having-set-out in — Bodena encamped had-managed and
ὁ Ἄγγελος ἐξ αὐτῶν ἀποδρᾶσαι καὶ εἰς τὸν ἀνεψιὸν
— Angelos from them to-run-away and to the nephew
αὐτοῦ τὸν δεσπότην Μιχαὴλ ἀπελθεῖν. ὁ μὲν οὖν βασιλεὺς
his the despot Michael to-go-off the indeed then emperor
εἰς πολιορκίαν τῶν Βοδηνῶν καταστὰς ἐν οὐ πολλῷ χρόνῳ
to siege — of-Bodena having-settled in not much time
τὸ τῶν Βοδηνῶν παρεστήσατο ἄστυ, κἀκεῖθεν ἀπάρας ἔν
the — of-Bodena brought-over town and-thence having-set-out in
τινι τόπῳ τῇ τοῦ Ὀστροβοῦ ἐγγίζοντι λίμνῃ ἐπήξατο τὰς
some place to-the — of-Ostrobos near lake pitched the
σκηνάς. καὶ ἐξαποστέλλει στρατηγοὺς κατὰ τῶν χώρων
tents and sends-out generals against the lands
τοῦ δεσπότου Μιχαὴλ τόν τε Στρατηγόπουλον Ἀλέξιον,
of-the despot Michael — both Strategopoulos Alexios
τὸν Παλαιολόγον Μιχαὴλ τὸν τοῦ μεγάλου δομεστίκου
— Palaiologos Michael the of-the great domestic

υἱόν, τὸν Μακρηνὸν Ἰωάννην, τὸν Τύραννον Γουδέλλην
son — Makrenos John — Tyrannos Goudelles
καὶ ἑτέρους, ἵνα τε ληΐζοιντο τὰ πέριξ καί που
and others that both they-might-plunder the(-places) around and somewhere
εἰ τύχοιεν καὶ στρατεύματος αὐτοῦ εἰς μάχην
if they-should-happen-on also army his to battle
χωρήσαιεν κατ᾽ αὐτοῦ, καὶ εἴπερ εὐχέρειαν σχοῖεν,
they-might-go against him and if-indeed opportunity they-should-have
καὶ ἄστυ πορθήσαιεν. καὶ οὕτω μὲν ἐκεῖνοι ἐποίουν καὶ
also town they-might-sack and so indeed they did and
προῆγον τῆς τοῦ βασιλέως σκηνῆς ἔμπροσθεν. ὁ δὲ
went-ahead of-the of-the emperor tent in-front the and
βασιλεὺς προσεκαρτέρει τοῖς τοῦ Ὀστροβοῦ τόποις καὶ
emperor persisted in-the — of-Ostrobos places and
ἐβαρυθύμει ἐφ᾽ ᾧ μὴ πέφθακεν ἄξιόν τι ἐργάσασθαι.
was-vexed for which not he-had-managed worthy anything to-accomplish
ἠγανάκτει δὲ καὶ τὸ στράτευμα· ὁ καιρὸς γὰρ ἦν
was-indignant and also the army the season for was
χειμέριος, ἐσπάνιζον δὲ καὶ τῶν χρειωδῶν. ἀλλ᾽ ὁ βασιλεὺς
wintry they-lacked and also of-the necessities but the emperor
τὸ τοιοῦτον τεθεράπευκεν· ἀπὸ Βερροίας γὰρ ἡμιόνοις καὶ
the such(-trouble) cured from Berrhoia for with-mules and
καμήλοις τὰ χρειώδη διεκόμιζεν ἐν τῷ στρατοπέδῳ. οὑτωσὶ
camels the necessities he-conveyed into the camp thus
δὲ διατεθειμένου τοῦ βασιλέως παρ᾽ ἐλπίδας ἐπιφοιτᾷ τῷ
and being-disposed the emperor beyond hopes comes to-the
βασιλεῖ πρόσφυξ ὁ ἀπὸ Καστορίας Γλαβᾶς καὶ συνεχῶς ὁ
emperor as-refugee the from Kastoria Glabas and continuously —
Πετραλίφας Θεόδωρος ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ Τορνίκη
Petraliphas Theodore the by daughter son-in-law — of-Tornikes
Δημητρίου τοῦ Κομνηνοῦ, ὃς τὰ κοινὰ συνδιέπων
Demetrios the Komnenos who the common(-affairs) co-managing

ἦν τῷ βασιλεῖ Ἰωάννῃ, πάνυ παρ᾽ αὐτοῦ φιλούμενος
was for-the emperor John very by him loved
καὶ τιμώμενος· ἀδελφὸν γὰρ αὐτὸν ἐν τοῖς γράμμασιν
and honored brother for him in the letters
ἀπεκάλει. ἐξ ἀνθρώπων δὲ πρὸ καιροῦ γέγονεν. οἰκονόμος
called from men and before time became steward
οὖν τῶν κοινῶν οὐκ ἦν ἐν τιμῇ καὶ ὀφφικίου ὀνόματι
then of-the common(-affairs) not was in honor and of-office by-name
γνωριζόμενος, τοῖς τυχοῦσι δὲ ἐχρῆτο εἰς ὑπηρεσίαν
known with-the(-ones) chancing and used for service
ὁ βασιλεὺς καὶ γραμματικοῖς ἀνωνύμοις, τῷ Μεσοποταμίτῃ
the emperor and with-secretaries nameless — Mesopotamites
Ἰωσὴφ καὶ τῷ ἐξυπηρετήσαντι αὐτῷ Νικηφόρῳ τῷ
Joseph and the having-served him Nikephoros the
Ἀλυάτῃ, ἐν δὲ τοῖς ἑλλογιμωτέροις γράμμασι καὶ ἀξίοις
Alyates in and the more-learned letters and worthy
σπουδῆς τῷ Μακρωτῷ Ἰωάννῃ καὶ ἐμοί.
of-earnestness — Makrotos John and me
Ὁ μὲν οὖν ῥηθεὶς Πετραλίφας τοῦ Μιχαὴλ γυναικάδελφος
the indeed then said Petraliphas — of-Michael brother-in-law
ὢν, ἐπεὶ προσέλθοι τῷ βασιλεῖ, πολλῆς εὐθυμίας αὐτόν
being when he-came to-the emperor of-much good-cheer him
τε τὸν βασιλέα καὶ τὰ στρατεύματα ἔπλησεν· εὐθὺς γὰρ
both the emperor and the armies filled at-once for
ἡ Καστορία καὶ ἡ περὶ αὐτὴν ἅπασα χώρα προσερρύη
— Kastoria and the about it all land flowed-over
τῷ βασιλεῖ, καὶ αἱ Δεαβόλεις δέ, ἥ τε μικρὰ καὶ μεγάλη,
to-the emperor and — Deabolis too the both small and great
τοῦ βασιλέως ἐγένοντο. καὶ ὁ ἀπὸ τοῦ Ἀλβάνου δὲ
of-the emperor became and the from — Albanon too
Γουλάμος, ἐπεὶ πρὸς τὰ τῆς Καστορίας συνδιῆγε μετὰ τοῦ
Goulamos when toward the — of-Kastoria was-staying with the

ἐξ Ἀλβάνου στρατοῦ μέρη, σύζυγον ἔχων τῆς βασιλίδος
from Albanon army parts wife having of-the empress
Εἰρήνης αὐτανεψιὰν πρωτεξαδέλφης αὐτῆς θυγατέρα, λόγοις
Irene first-cousin of-first-cousin her daughter by-words
μειλιχίοις καὶ γράμμασιν ὑποσχέσεων τῶν ὑπὸ τοῦ
soothing and by-letters of-promises of-the(-ones) by the
βασιλέως θελχθεὶς προσῄει τῷ βασιλεῖ. φιλοφρόνως γοῦν
emperor charmed came to-the emperor in-friendly-fashion then
τοὺς τοιούτους πάντας ὁ βασιλεὺς δεξάμενος πρεπόντως
the such all the emperor having-received fittingly
ἐφιλοτιμήσατο. ταῦτα γνοὺς Μιχαὴλ ὁ δεσπότης καὶ
honored these-things having-known Michael the despot and
ἐν στενῷ κομιδῇ βλέπων τὰ περὶ αὐτὸν τυγχάνοντα
in strait utterly seeing the about him being
πράγματα, κατὰ ῥοῦν δὲ χωροῦντα τῷ βασιλεῖ, πρεσβείαν
affairs with stream and going for-the emperor embassy
πρὸς τὸν βασιλέα ἐστείλατο διά τε τοῦ μητροπολίτου
to the emperor sent through both the metropolitan
Ναυπάκτου τοῦ Ξηροῦ καὶ τοῦ ἐπ᾽ ἀδελφῇ γαμβροῦ
of-Naupaktos the Xeros and the by sister son-in-law
αὐτοῦ τοῦ Μαλιασηνοῦ καὶ τοῦ Λαμπέτη, οἳ καὶ εἰς
his — Maliasenos and — Lampetes who also to
λόγους συνελθόντες τῷ βασιλεῖ ξυμβιβάσεις πεποίηνται.
words having-come with-the emperor agreements made
καὶ ἀπέλυσε μὲν πρὸς τὸν βασιλέα ὁ Μιχαὴλ τὸ ἄστυ
and released indeed to the emperor — Michael the town
τὸν Πρίλαπον καὶ τὸν Βελεσσὸν καὶ τὸ ἐν τῷ Ἀλβάνῳ
— Prilapos and — Belessos and the in — Albanon
φρούριον τὰς Κρόας, καὶ προέβησαν πρὸς τοῦ βασιλέως
fortress — Kroai and proceeded from the emperor
ἔγγραφοι ὅρκοι, καὶ ἀπεστάλησαν πρὸς αὐτὸν καὶ πρέσβεις,
written oaths and were-sent to him also envoys

ὅ τε Φιλαδελφείας Φωκᾶς καὶ ὁ τῆς αὐλῆς πριμμικήριος
the both of-Philadelphia Phokas and the of-the court primmikerios
Ἰσαάκιος ὁ Δούκας, ὃν καὶ Μούρτζουφλον ἀπεκάλουν,
Isaac the Doukas whom also Mourtzouphlos they-called
καὶ ὁ Ὑαλέας Μιχαὴλ καὶ αὐτὸς ἐγώ. ἀπῄειμεν οὖν
and — Hyaleas Michael and myself I we-went-off then
πρὸς τὸν Μιχαήλ, καὶ εὕρομεν τοῦτον ἐν τῇ Λαρίσσῃ, καὶ
to — Michael and we-found him in — Larissa and
πεπληρώκαμεν τὰς σπονδάς. καὶ λαβόντες τὸν υἱὸν αὐτοῦ
we-fulfilled the treaties and having-taken the son his
Νικηφόρον, ὃν καὶ δεσπότην ὁ βασιλεὺς διὰ τὴν
Nikephoros whom also despot the emperor because-of the
αὐτοῦ ἐγγόνην τετίμηκεν, ἀλλὰ μὴν καὶ τὸν τοῦ Μιχαὴλ
his granddaughter honored but indeed also the — of-Michael
θεῖον τὸν Ἄγγελον Θεόδωρον δεσμώτην, πρὸς τὸν βασιλέα
uncle — Angelos Theodore as-prisoner to the emperor
ἐπανεξεύξαμεν ἐν τοῖς Βοδηνοῖς σκηνούμενον. καὶ οὕτω
we-marched-back in — Bodena encamping and so
μὲν ἐγεγόνει ταῦτα, καὶ εἰς τοιοῦτον τέλος κατηντήκει
indeed had-happened these-things and to such end had-arrived
τὰ πράγματα. παραχειμάσας οὖν ἐν τοῖς Βοδηνοῖς ὁ
the affairs having-wintered then in — Bodena the
βασιλεὺς ἦρος ὥρᾳ, ἐπεὶ καὶ τὴν ἀναστάσιμον ἑωρτάκει
emperor of-spring in-season when also the resurrection he-had-feasted
ἡμέραν, τὰ στρατόπεδα αὐτοῦ που καταλελοιπὼς καὶ
day the camps his somewhere having-left and
εἰς ἡγεμόνας αὐτῶν τάξας τόν τε πρωτοβεστιάριον
as commanders of-them having-appointed the both protovestiarios
Ἀλέξιον τὸν Ῥαούλ, γαμβρὸν ὄντα ἐπ᾽ ἀδελφόπαιδι τοῦ
Alexios the Raoul son-in-law being by niece of-the
βασιλέως, καὶ τὸν Κομνηνὸν Μιχαὴλ τὸν Παλαιολόγον,
emperor and — Komnenos Michael the Palaiologos

μετὰ μετρίου στρατεύματος εἰς θέαν τῶν προσφάτως
with moderate army for viewing of-the recently
ἐπιγεγενημένων τούτῳ χώρων ἀφίκετο. καὶ ἀπῆλθε μὲν
added to-him lands arrived and went-off indeed
εἰς Ἀχρίδα, ἐπιδεδημήκει δὲ εἰς Δεάβολιν κἀκεῖθεν εἰς
to Ochrid had-visited and to Deabolis and-thence to
Καστορίαν. καὶ τῇ τῆς ὀπώρας ὥρᾳ συσκευασάμενος
Kastoria and in-the of-the autumn season having-prepared
τὰ στρατεύματα τῆς εἰς ἕω φερούσης ἐφήψατο.
the armies the(-road) to east leading took-hold-of
Παραμείψας γοῦν τὴν Θεσσαλονίκην καὶ τὴν Βισαλτίαν 50
having-passed then — Thessalonica and — Bisaltia
διαβάς, ἐς Φιλίππους ἐπήξατο τὴν σκηνὴν λόγου πέρι,
having-crossed at Philippi pitched the tent an-account about
ὡς ἐδόκει τούτῳ, οὐχὶ σμικροῦ. ὁ γὰρ ἐκ τοῦ Μελενίκου
as seemed to-him not small the for from — Melenikon
Μαγκλαβίτης Νικόλαος κατεῖπε πρὸς τὸν βασιλέα τοῦ
Manglabites Nikolaos denounced to the emperor —
Παλαιολόγου Μιχαὴλ τοῦ προρρηθέντος υἱοῦ τοῦ μεγάλου
of-Palaiologos Michael the aforesaid son of-the great
δομεστίκου, ὅτε ἦν ἐν τοῖς Βοδηνοῖς· ἐπεὶ δὲ οὐκ ἦν
domestic when he-was in — Bodena since and not was
καιρὸς τοιούτων πραγμάτων ἐρεύνης ἀλλ᾽ ἐκστρατείας καὶ
season of-such affairs of-inquiry but of-campaign and
μάχης, ἐταμιεύετο τῷ βασιλεῖ τὰ τῆς ὑποθέσεως ἐς
of-battle was-reserved by-the emperor the(-affairs) of-the case for
ὥραν εὔθετον. τότε γοῦν εἰς ἐξέτασιν τῶν τοιούτων
season convenient then at-any-rate to examination of-the such(-things)
ἐγεγόνει ὁ βασιλεύς, καὶ δικαστήριον ἔστησε καὶ κριτὰς
came the emperor and court set-up and judges
ἐκάθισε καὶ λαμπρὸν κριτήριον συνεκρότησεν. ἡ δ᾽ ὑπόθεσις
seated and brilliant tribunal assembled the and case

ἦν τοιαύτη. ἐπεὶ ἐτελεύτησεν ὁ Τορνίκης Δημήτριος,
was such when died — Tornikes Demetrios
ἔτι δὲ περιῆν ἐν Θεσσαλονίκῃ ὁ μέγας δομέστικος,
still and was-alive in Thessalonica the great domestic
ὁ δὲ τούτου υἱὸς Μιχαὴλ ἐς Μελενίκον καὶ Σέρρας,
the and his son Michael at Melenikon and Serres
ὃς καὶ μαθὼν τὸν τοῦ Τορνίκη θάνατον ἐδυσφόρησε
who also having-learned the — of-Tornikes death was-distressed
καὶ σκυθρωπὸς τοῖς ἐντυγχάνουσιν ἐπεφαίνετο· ἦν
and gloomy to-the(-ones) meeting appeared was
γὰρ ὁ Τορνίκης σύζυγον ἔχων τοῦ μεγάλου δομεστίκου
for — Tornikes wife having of-the great domestic
πρωτεξαδέλφην. οἷα γοῦν φιλεῖ ἐπὶ τοῖς τοιούτοις γίνεσθαι,
first-cousin as then is-wont at the such(-things) to-happen
ἠρωτήκει τις τῶν ἐκ Μελενίκου θάτερόν τινα,
asked some-one of-the(-ones) from Melenikon the-other someone
ὅτου χάριν σκυθρωπάζει ὁ Κομνηνὸς Μιχαήλ. ὁ δέ
for-what for-the-sake is-gloomy — Komnenos Michael he and
— καὶ γὰρ ἠπίστατο τὴν αἰτίαν — ‘ὁ Τορνίκης’ ἔφη
also for he-knew the cause — Tornikes said
‘Δημήτριος τέθνηκεν· ἦν δὲ προσγενὴς αὐτοῦ καὶ οἰκονόμος
Demetrios has-died was and kinsman his and steward
τῶν κοινῶν· καὶ τούτου γοῦν χάριν κἀκείνου
of-the common(-affairs) and of-this then for-the-sake also-for-that(-man)
λελύπηται.’ ὁ δὲ ‘οὔ μοι δοκεῖ’ φησιν· ‘οὐδὲ γὰρ διὰ
he-has-grieved he and not to-me it-seems says not-even for because-of
Τορνίκην οὕτως ἂν ἠδημόνει καὶ ἤσχαλλεν· ἀλλ’ ὡς
Tornikes so — he-would-be-troubled and vexed but as
ἔοικεν ἐπὶ τῷ κρείττονι ἐκείνου τοῦτο συμβέβηκε. καὶ
it-seems at the better(-one) of-that(-man) this has-happened and
εἰ τοῦτο, φεῦ ἡμῖν· ἐν γὰρ ταραχαῖς καὶ ὀχλήσεσιν αὖθις
if this alas to-us in for troubles and disturbances again

γενήσονται τὰ ἡμέτερα, κατεστορεσμένα νῦν καλῶς καὶ
will-be the our(-affairs) settled now well and
εἰς ἀταραξίαν ἐληλυθότα.’ εἶθ’ οὗτος ‘ἀλλ’ ὦ φίλος,
into calm having-come then this(-man) but O friend
καὶ εἰ τοιοῦτόν τι ξυνέβη, καὶ οὕτω δὴ οὐ κακῶς
even if such something happened even so indeed not badly
τὰ καθ’ ἡμᾶς ἕξουσι. καὶ γὰρ ὁ μέγας δομέστικος
the(-affairs) concerning us will-be also for the great domestic
ἐν Θεσσαλονίκῃ διάγει ἡγεμονεύων αὐτῆς, καὶ οὑτοσὶ δὲ
in Thessalonica stays governing it and this-here too
ὁ Κομνηνὸς Μιχαὴλ ὁ τούτου υἱὸς τὴν τῶν ἡμετέρων
— Komnenos Michael the his son the of-the our
χώρων διεξάγει κηδεμονίαν. ὑπὸ τοιούτων γοῦν μεγίστων
lands conducts guardianship by such then very-great
ἀνδρῶν κυβερνώμενοι οὐκ ἄν ποτε κοσμικὸν κλυδώνιον
men being-steered not — ever worldly billow
ἴδοιμεν· ἄλλως τε καὶ ἡ τοῦ βουλγαράρχου Καλιμάνου
we-might-see otherwise both and the of-the Bulgarian-ruler Kaliman
ἀδελφὴ Θάμαρ, ἄζυξ ἔτι τελοῦσα, εἰς γάμου κοινωνίαν
sister Thamar unmarried still being into of-marriage partnership
συνέλθῃ τῷ Κομνηνῷ Μιχαήλ, καὶ γενήσονται σπονδαὶ
would-come — with-Komnenos Michael and will-be treaties
μέσον ἡμῶν καὶ Βουλγάρων.’ ταῦτα δὴ λελάληνται
between us and Bulgarians these-things indeed were-said
παρ’ αὐτῶν μηδὲν εἰδότος τοῦ Κομνηνοῦ Μιχαήλ.
by them nothing knowing — of-Komnenos Michael
Θάτερος οὖν τοῖν δυοῖν ἀπελθὼν πρὸς τὸν εἰρημένον
the-other then of-the two having-gone-off to the said
Μαγκλαβίτην ἀνήγγειλεν αὐτῷ τὰ τοιαῦτα, ὁ δὲ ἀνήνεγκε
Manglabites reported to-him the such(-things) he and referred
τῷ βασιλεῖ. κατασχεθέντες οὖν καὶ ἄμφω ἠρώτηνται περὶ
to-the emperor having-been-detained then also both were-asked about

τῶν λελεγμένων. ὁ μὲν οὖν κατηγόρει, θάτερος
the(-things) said the(-one) indeed then accused the-other
δὲ ὑπεραπελογεῖτο. ἔφησεν οὖν ὡς ‘ἀληθῶς μὲν οὑτοσὶ
but defended said then that truly indeed this(-man)
εἰρήκει, παρ’ ἐμοῦ γὰρ ἀκήκοεν· ἀλλ’ οὐκ εἰδήσει
had-said from me for he-heard but not with-knowledge
μοι εἴρηται τοῦ Κομνηνοῦ, ἀλλ’ ἐξ ἑαυτοῦ τοὺς λόγους
by-me it-was-said — of-Komnenos but from myself the words
τούτους προήνεγκα.’ ἠναγκάζετο γοῦν περὶ τούτου, ὁ δὲ
these I-brought-forward was-pressed then about this he and
ἠρνεῖτο καθάπαξ μὴ εἰδέναι τι περὶ τούτου τὸ σύνολον
denied once-for-all not to-know anything about this the whole
τὸν Κομνηνὸν Μιχαήλ· ὁ δὲ κατηγορῶν ἔφασκε συνειδέναι
— Komnenos Michael the and accusing said to-be-privy-to
ταῦτα τὸν Κομνηνὸν Μιχαήλ. ἐντεῦθεν ἠὐτρέπιστο
these-things — Komnenos Michael hence had-been-prepared
τούτοις στρατιωτική τις ἀπόδειξις, ἐπεὶ μὴ ὑπῆρχον οἱ
for-them military some proof since not there-were the(-ones)
μαρτυροῦντες, ἡ διὰ μάχης διάπειρα. ὡπλίσθησαν οὖν
witnessing the through battle trial were-armed then
καὶ ἄμφω, εἰσῆλθον εἰς τὸ στάδιον, ξυνέβαλον ἀλλήλοις,
also both entered into the arena engaged each-other
καὶ νενίκηται ὁ κατηγορούμενος ἀπερρίφη τε τοῦ ἵππου,
and was-conquered the accused was-thrown both from-the horse
καὶ τὴν νικῶσαν ὁ κατήγορος ἔσχηκε. συλληφθεὶς οὖν
and the victory the accuser had having-been-seized then
ζωός — οὐδὲ γὰρ καιρίαν τέτρωται — καὶ αὖθις
alive not-even for mortally he-had-been-wounded and again
ἠρώτηται, ὡς ἂν καθομολογήσειε τὴν ἀλήθειαν. ὁ δὲ τοῦ
was-asked so-that — he-might-confess the truth he but of-the
προτέρου λόγου ἀντείχετο καὶ μηδ’ ὅλως εἰδέναι τι τὸν
former account held-to and not at-all to-know anything —

Κομνηνὸν διεμαρτύρετο Μιχαήλ. ἐπεὶ δὲ διὰ πλείονος
Komnenos protested Michael when and through more
βασάνου ἔδοξεν ἐπιγνῶναι τὸν βασιλέα τὸ ἀληθές, οἷος
torture it-seemed to-learn the emperor the truth as
ἐκεῖνος τὰς ἐξετάσεις ἀκριβεστέρας ποιούμενος, τὸν διὰ
that(-man) the examinations more-exact making the through
θανάτου ἐπήγαγε τῷ ἀνδρὶ ἔλεγχον. ἐδέδεντο γοῦν αἱ
death applied to-the man test were-bound then the
χεῖρες ὄπισθεν τοῦ καταδικασθέντος ξίφους ἔργον γενέσθαι,
hands behind of-the condemned of-sword work to-become
οἱ δ' ὀφθαλμοὶ λινῷ ὑφάσματι ἐκαλύφθησαν· οὕτω
the and eyes with-linen cloth were-covered thus
γὰρ εἴωθε τοὺς κατακρίτους διασκευάζεσθαι καὶ τὴν
for it-is-customary the condemned to-be-arranged and the
πληγὴν λαμβάνειν τῆς ἀναιρέσεως. ὡς γοῦν καὶ ταῦτα
blow to-receive of-the execution as then also these-things
οὑτωσὶ γένοιτο καὶ ὁ δεσμώτης κλῖναι τὸν αὐχένα
thus had-happened and the prisoner to-bend the neck
προστέτακται, ἵνα δέξηται τῆς κάρας τὴν ἐκτομήν,
was-ordered that he-might-receive of-the head the cutting-off
καὶ πάλιν περὶ τῶν ζητουμένων ἠρώτηται. ὁ δὲ μεθ'
and again about the(-things) sought was-asked he and with
ὅρκων φρικωδεστάτων διεβεβαιώσατο μηδέν τι ὅλως
oaths most-awful affirmed nothing at-all wholly
συνειδέναι ἐπὶ τούτοις τὸν Κομνηνὸν Μιχαήλ. ἐκεῖνος μὲν
to-be-privy-to in these — Komnenos Michael he indeed
οὖν τὴν πρὸς θάνατον εἰάθη ὁδεῦσαι, τὴν δὲ πρὸς
then the(-road) to death was-let-off to-travel the(-road) but to
εἱρκτὴν ἐβάδισε, καὶ εἶχον αὐτὸν κλοιοὶ καὶ κάθειρξις· ἡ
prison went and held him collars and confinement the
ἐξέτασις δὲ πᾶσα πρὸς τὸν Κομνηνὸν κατήντηκε Μιχαήλ.
examination and all to — Komnenos came Michael

Καὶ δὴ ἔφασκον αὐτῷ οἵ τάχα κρίνειν τοῦτον
and indeed said to-him the(-ones) supposedly to-judge him
λαχόντες ὡς ‘ἐπεὶ περὶ σοῦ ἀπειρημένοι τινὲς λελάληνται
having-been-allotted that since about you forbidden some have-been-spoken
λόγοι, δεῖ σὲ διά τινος θαυματοποιίας τούτους
words it-is-necessary you through some wonder-working them
ἀποσκευάσασθαι.’ τὸ δὲ ἦν ἡ διὰ μύδρου ἀπόδειξις.
to-clear-away the(-thing) and was the through red-hot-iron proof
ὁ δὲ — καὶ γὰρ εἶχε βοηθοῦσαν αὐτῷ τὴν ἀλήθειαν
he and also for he-had helping him the truth
— ‘εἰ μέν τις ἦν’ ἔλεγεν ‘ὁ κατ’ ἐμοῦ τι
if indeed some-one were he-said the(-one) against me something
κατηγορῶν, πρὸς ἐκεῖνον ἂν ἐμαχεσάμην καὶ ἀπέδειξα
accusing with that(-man) — I-would-have-fought and I-would-have-shown
ψεύδεσθαι· κατηγόρου δὲ μὴ παρόντος ὑπὲρ τίνος κρίνομαι;
to-lie accuser but not being-present for what am-I-judged
εἰ δὲ θαυματουργῆσαί με θέλετε, ἀλλ’ ἐγὼ οὐκ εἰμὶ
if and to-work-wonders me you-wish but I not am
τοιοῦτος ὥστε καὶ τερατοποιίας ἐργάζεσθαι. σίδηρος δὲ
such so-as also prodigies to-work iron and
πεπυρακτωμένος, εἰ ἐν χειρὶ ἀνθρώπου ζωοῦ ὄντος ἐμπέσοι,
red-hot if in hand of-man living being should-fall
οὐκ οἶδα πῶς ἂν οὐ καύσειεν αὐτήν, εἰ μή πού τις
not I-know how — not it-would-burn it if not somehow some-one
ἔξεσται τῷ Φειδίᾳ ἐκ λίθου ἢ τῷ Πραξιτέλει ἢ καὶ ἀπὸ
has-been-carved — by-Pheidias from stone or — by-Praxiteles or also from
χαλκοῦ εἴργασται.’ ταῦτ’ ἔλεγε καὶ μάλα νὴ τὴν Θέμιν
bronze has-been-made these-things he-said and very by — Themis
δικαίως. ἐπεὶ δὲ καὶ ὁ τῆς Φιλαδελφέων μητροπολίτης
justly when and also the of-the(-city) of-Philadelphians metropolitan
Φωκᾶς συμπαρῆν τοῖς γινομένοις, φιλούμενος πρὸς
Phokas was-present-at the(-things) happening being-loved by

τοῦ βασιλέως καὶ πάνυ φιλοφρονούμενος — πέπονθε
the emperor and very being-courted had-experienced
δὲ τοῦτο οὐκ ἐξ ἀρετῆς ἀλλ᾽ ἐξ ἀναιδείας· καὶ γάρ
and this not from virtue but from shamelessness also for
ποτε τοῦ βασιλέως πυθομένου περί τινος τῶν κοινῶν
once the emperor having-asked about some of-the common
πραγμάτων ἐπαρρησιάσατο καὶ ‘ὦ βασιλεῦ,’ ἔφη, ‘τίνος
affairs spoke-boldly and O emperor he-said for-what
χάριν ἀρτίως ἡμᾶς ἐρωτᾷς, αὐτὸς ἀεὶ ἐξ ἑαυτοῦ
for-the-sake just-now us do-you-ask yourself always from yourself
τὰ δοκοῦντά σοι διαπραττόμενος;’ ταῦτ᾽ εἶπε,
the(-things) seeming to-you accomplishing these-things he-said
καὶ τότε μὲν ὁ βασιλεὺς ἐσχετλίασε καί γε εἰρήκει
and then indeed the emperor was-indignant and at-least said
πρὸς τοὺς συμπαρισταμένους· ‘τί οὕτω θρασύτερον ὁ
to the(-ones) standing-by why so more-boldly the
μητροπολίτης εἴρηκεν, ὑμεῖς δὲ ἠνέσχεσθε;’ μετὰ βραχὺ
metropolitan has-spoken you and endured after short(-while)
δὲ φιλοφρόνως τοῦτον ἐδεξιώσατο καὶ ἐτίμα καὶ σύμβουλον
but in-friendly-fashion him welcomed and honored and counselor
εἶχεν ἐν ταῖς κοσμικαῖς ὑποθέσεσιν. ὑποδρηστῆρι οὖν καὶ
had in the worldly matters as-assistant then also
τότε ἐχρήσατο τούτῳ ὁ βασιλεύς. καί γε καταμόνας
then used him the emperor and at-least alone
τὸν Κομνηνὸν παραλαβὼν Μιχαήλ, κἀμοῦ τῶν λόγων
— Komnenos having-taken-aside Michael and-me the words
ἀκροωμένου, ταῦτ᾽ εἶπεν ὡς ‘εὐγενὴς μὲν ἀνὴρ σὺ καὶ
hearing these-things said that noble indeed man you and
ἐξ εὐγενῶν γεγέννησαι. δεῖ οὖν σε τὸ δέον
from noble(-parents) have-been-born it-is-necessary then you the(-thing) needful
ὑπὲρ τῆς σῆς ὑπολήψεώς τε καὶ πίστεως καὶ παντός
for the your repute both and good-faith and of-all

σοι τοῦ γένους καὶ νοῆσαι καὶ διαπράξασθαι. ἐπεὶ δὲ οὐκ
to-you the family both to-think and to-accomplish since and not
ἔλεγχος παρὰ μαρτύρων ἐν σοί, δεῖ σε τῷ μύδρῳ
proof from witnesses in you it-is-necessary you by-the red-hot-iron
τὴν ἀλήθειαν παραστήσασθαι.' καὶ ὃς μάλα γενναίως καὶ
the truth to-establish and he very nobly and
ἀνδρικῶς, καὶ ὡς ἂν τινα οἱ γραφεῖς ἐν μάχῃ ἄτρεστον
manfully and as — someone the painters in battle fearless
διαγράψαιεν, 'οὐκ οἶδ' ὅπως τὸ τοιοῦτον κέκληται ἅγιον,
might-depict not I-know how the such(-thing) has-been-called holy
ὦ δέσποτα' ἔφη· 'ἀλλ' ἐγὼ μὲν ἁμαρτωλός εἰμι ἄνθρωπος
O master he-said but I indeed sinful am man
καὶ τερατουργεῖν τοιαῦτα οὐ δύναμαι.
and to-work-prodigies such not I-can
εἰ δέ μοι συμβουλεύῃ μητροπολίτης ὢν καὶ θεοῦ ἄνθρωπος
if but me you-advise metropolitan being and of-God man
τουτὶ διαπράξασθαι, ἔνδυσαι μὲν αὐτὸς τὴν ἱεράν σου
this to-accomplish put-on indeed yourself the sacred your
πᾶσαν στολήν, καθὼς εἴωθας ἐν τῷ θείῳ εἰσέρχεσθαι
all vestment as you-are-wont into the divine to-enter
βήματι καὶ ἐντυγχάνειν θεῷ· εἶτα δὴ ταῖς σαῖς χερσὶν
sanctuary and to-meet God then indeed with-the your hands
ἐκπύρωσόν μοι τὸν σίδηρον, αἷς τοῦ θείου ἐφάπτῃ
heat-red-hot for-me the iron with-which the divine you-touch
θύματος, τοῦ σώματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
sacrifice of-the body of-the Lord our Jesus Christ
τοῦ ὑπὲρ παντὸς τοῦ κόσμου τεθυμένου καὶ ἀεὶ θυομένου
the(-one) for all the world sacrificed and always being-sacrificed
παρ' ὑμῶν τῶν ἱερέων τε καὶ ἱεραρχῶν, καὶ ταύταις δὴ
by you the priests both and hierarchs and with-these indeed
ταῖς ἱεραῖς σου χερσὶν ἐπίθες τῇ χειρί μου τὸν σίδηρον,
the sacred your hands lay on-the hand my the iron

καὶ τεθάρρηκα εἰς τὸν δεσπότην Χριστόν, ὡς πᾶσαν
and I-have-trusted in the master Christ that all
μὲν οὗτος ἁμαρτίαν μου παροράσεται, θαυματουργήσειε
indeed he sin my will-overlook would-work-wonders
δὲ τὴν ἀλήθειαν.' καὶ ὁ μὲν Κομνηνὸς Μιχαὴλ οὕτως
but the truth and — indeed Komnenos Michael thus
εἴρηκεν, ὁ δὲ μητροπολίτης 'ὦ καλὲ νεανία,' ἔφη, 'τοῦτο
spoke the and metropolitan O fair young-man he-said this
οὐκ ἔστι τῆς ἡμετέρας καὶ Ῥωμαϊκῆς καταστάσεως, ἀλλ'
not is of-the our and Roman constitution but
οὔτε τῆς ἐκκλησιαστικῆς παραδόσεως, οὔτε μὴν ἐκ τῶν
neither of-the ecclesiastical tradition nor indeed from the
νόμων οὔτε δὴ πρότερον ἐκ τῶν ἱερῶν καὶ θείων
laws nor indeed before from the sacred and divine
κανόνων παρείληπται. βαρβαρικὸς δὲ ὁ τρόπος καὶ
canons has-been-received barbarian and the way and
ἀγνὼς ἐν ἡμῖν, προσταγῇ δὲ μόνον ἐνεργεῖται βασιλικῇ.'
unknown among us by-order and only it-is-effected imperial
καὶ ὃς 'ὦ μέγιστε ἱεράρχα θεοῦ, εἰ μὲν καὶ αὐτὸς
and he O greatest hierarch of-God if indeed also I-myself
ἐκ βαρβάρων γεγέννημαι καὶ βαρβαρικοῖς τοῖς ἤθεσιν
from barbarians have-been-born and in-barbarian the customs
ἀνατέθραμμαι ἢ καὶ νόμοις τουτοισὶν ἐκπεπαίδευμαι, καὶ
have-been-reared or also in-laws these have-been-educated also
βαρβαρικῶς ἐκτισαίμην τὴν δίκην μου· εἰ δὲ Ῥωμαῖος καὶ
barbarously I-would-pay the penalty my if but Roman and
ἐκ Ῥωμαίων, κατὰ νόμους Ῥωμαϊκοὺς καὶ παραδόσεις
from Romans according-to laws Roman and traditions
ἐγγράφους ἡ κρίσις τερματωθήτω μοι.'
written the judgment let-be-ended for-me

Ἐκεῖνος μὲν οὖν τοῖς λόγοις οἷον τοῦ νεανίου
he indeed then at-the words as of-the young-man
ἐκπεπληγμένος — εἰκοστὸν γὰρ καὶ ἕβδομον διήνυεν
having-been-astounded twentieth for and seventh was-completing
ἔτος ὁ Κομνηνὸς Μιχαὴλ — καὶ τῷ μὴ ἐν συμφοραῖς
year — Komnenos Michael and at-the not in misfortunes
τούτου ὄντος τὸ εὐγενὲς τοῦ φρονήματος καταπίπτειν
his being the nobility of-the spirit to-fall-down
μηδὲ τὸ τῶν νοημάτων ὑποχαλᾶν εὐεπήβολον, πρὸς τὸν
nor the of-the thoughts to-slacken aptness to the
βασιλέα ἐλθὼν ὅσα μὲν οὖν εἶπεν ἐκεῖνος αὐτὸς
emperor having-come as-much-as indeed then said he I-myself
μὲν οὐκ οἶδα, πάντως δὲ ταῦτ' ἔμελλε λέξαι ὅσα
indeed not know surely but these-things was-about to-say as-much
τε καὶ οἷα ἤκουσεν. ὁ μὲν οὖν βασιλεὺς διάπειραν
both and such-as he-heard the indeed then emperor trial
πολλὴν πεποιηκὼς οὐχ εὗρε κατά τι τὸν Κομνηνὸν
much having-made not found in anything — Komnenos
Μιχαὴλ ὑπαίτιον ὄντα, καὶ ταῦτα καὶ τὸν ἀναίτιον εἰς
Michael guilty being and these-things also the guiltless into
αἰτίαν ἄγων τῇ βίᾳ ἢ τῶν λόγων ἢ τῶν μαστίγων.
charge leading by-the force either of-the words or of-the whips
πάντες γὰρ ἀπεφαίνοντο οἵ τε τῶν Λατίνων οἵ τε τῶν
all for declared the both of-the Latins the both of-the
Ῥωμαίων, καὶ μάλιστα τῶν Λατίνων, ἐπεί γε οὗτοι
Romans and especially of-the Latins since at-least these
ἐλευθερωτέρᾳ χρῶνται πρὸς τοὺς δεσπότας τῇ γλώττῃ,
freer use toward the masters the tongue
ἀθῷον εἶναι ἐπὶ πᾶσι τὸν Κομνηνὸν Μιχαήλ· ἤκουσα
innocent to-be in all — Komnenos Michael I-heard
δὲ καὶ αὐτὸς ἐπὶ τῇ κρίσει παρών, καὶ σὺν ἐμοὶ ὁ
and also myself at the trial being-present and with me —

Μακρωτὸς Ἰωάννης, τάχα καὶ ἡμεῖς συναριθμούμενοι
Makrotos John supposedly also we counted-with
τοῖς κρίνουσι πρὸς τοῦ βασιλέως, ὡς ξύλων ἄν τινες
the(-ones) judging by the emperor as of-timbers — some
μηδὲν διαφέροντες ἐνταῦθ' ἵστανται. ἐβούλετο γὰρ πάντας
nothing differing there stand he-wished for all
κατ' αὐτοῦ συμψηφίζεσθαι, ἡμῖν δὲ οὐκ ἦν λόγος, ἄνευ
against him to-vote-together for-us but not was word without
λόγου τοῦ Κομνηνοῦ Μιχαὴλ κρινομένου. ἐφιλεῖτο γὰρ —
reason — of-Komnenos Michael being-judged was-loved for
φίλη γε ἡ ἀλήθεια — οὐ πρὸς ἡμῶν καὶ μόνον, ἀλλὰ
dear at-least the truth not by us and only but
καὶ πρὸς παντὸς τῶν τε ἐν τέλει τῶν τε στρατηγῶν
also by everyone of-the(-ones) both in office of-the both generals
τῶν τε στρατιωτῶν καὶ αὐτῶν τῶν τῆς ξύγκλυδος·
of-the both soldiers and of-the-very the(-ones) of-the rabble
τοῖς τε γὰρ νεάζουσιν ἡδὺς ἦν καὶ προσηνὴς ὁμιλῶν
to-the both for youthful pleasant he-was and gentle conversing
καὶ χαρίεις ἐν λόγοις καὶ ἐν ἐπιτηδεύμασι δεξιώτατος, τοῖς
and graceful in words and in pursuits most-skillful to-the
τε γέρουσι γηραιὸς ἐδόκει τὸν λόγον τε καὶ τὴν σύνεσιν,
both old(-men) old he-seemed the speech both and the understanding
καὶ ἀσπάσιος αὐτοῖς ἐνομίζετο. καὶ ταῦτ' οὖν, ὡς οἶμαι,
and welcome to-them was-reckoned and these-things then as I-think
γέγονεν ἐπ' αὐτῷ δοκιμασίᾳ τοῦ κρείττονος· ἐπεὶ γὰρ εἰς
happened for him by-trial of-the better since for to
τὴν βασίλειαν ἔμελλε θεὸς ἀναβιβάσαι τοῦτον περιωπήν,
the imperial was-about God to-raise him lookout
τῷ τῶν βασάνων πυρὶ καὶ τῷ διὰ πείρας χωνευτηρίῳ
by-the of-the tortures fire and by-the through experience crucible
δεδοκίμακεν, ἵνα μὴ εἰς τὸν βασίλειον ἀναβὰς θρόνον
he-tested that not to the imperial having-gone-up throne

ῥᾷον ἔχῃ πιστεύειν διαβολαῖς καὶ συκοφαντίαις
more-easily he-might-be-able to-trust slanders and calumnies
μήτε θᾶττον τὰς ἀποφάσεις ποιεῖν ἐπ᾽ ἐξουσίᾳ τοῦ
nor more-quickly the sentences to-make in power of-the
πράττειν τὰ βουλητέα γεγενημένος. οὐ μὴν ἀλλὰ
to-do the(-things) wished having-become not however but
καὶ ἐν ἄλλοις πολλοῖς κατεξήτασεν, ὡς προϊὼν ὁ τῆς
also in other many(-things) he-examined as proceeding the of-the
ἱστορίας λόγος δηλώσειεν. ἐπὶ δὲ τέλει τῆς ὑποθέσεως
history account may-show at and end of-the case
ταυτησὶν ἦν ὁ βασιλεὺς εἰρηκώς, κἀμοῦ τῶν λόγων
this was the emperor having-said and-me the words
ἀκροωμένου· ‘αἶ ἐλεεινὸν οἵας δόξης ἐξέπεσες.’ τὸ
hearing ah pitiable(-one) from-what glory you-have-fallen the(-thing)
δὲ ἦν ὅτιπερ πρὸς βουλήσεως ἦν τῷ βασιλεῖ τὴν
and was that-indeed according-to wish it-was for-the emperor the
ἐγγόνην αὐτοῦ, τὴν πρώτην θυγατέρα τοῦ υἱοῦ αὐτοῦ τοῦ
granddaughter his the first daughter of-the son his the
βασιλέως Θεοδώρου τὴν Εἰρήνην, ἐπιδοῦναι τῷ Κομνηνῷ
emperor Theodore — Irene to-give — to-Komnenos
Μιχαὴλ εἰς ὁμόκοιτιν. ἦν δὲ αὕτη πρὸς τὸν Μιχαὴλ
Michael as bedfellow was and she to — Michael
ἀνεψιά, δευτερεξαδέλφου θυγάτηρ· ἀλλὰ τοῦτο καὶ ἐπὶ τῷ
niece of-second-cousin daughter but this also with the
βασιλεῖ Ἰωάννῃ ἐγένετο καὶ ἐν πλείοσιν ἄλλοις, καὶ εἴωθε
emperor John happened and in more others and is-wont
τὰ τοιαῦτα οὕτω πως ξυμβαίνειν· κἂν γὰρ τῇ
the(-things) such thus somehow to-happen even-if for by-the
ἐκκλησίᾳ κεκώλυται, ἀλλὰ τοῖς βασιλεῦσιν ἐφεῖται
church it-has-been-forbidden but to-the emperors it-is-permitted
τῆς κοινῆς προμηθείας χάριν καὶ τοῦ συμφέροντος.
of-the common forethought for-the-sake and of-the advantage

Ὁ μὲν οὖν βασιλεὺς οὑτωσὶ τὰ τῆς ὑποθέσεως 51
the indeed then emperor thus the(-affairs) of-the case
διαλύσας εἰς τὴν ἕω ἀπῄει, ὁ δὲ Κομνηνὸς Μιχαήλ, ὡς
having-dissolved to the east went-off — but Komnenos Michael as
εἰρήκειν, ὑπεβλέπετο. ἐπεὶ δὲ τὸ τοῦ γένους περιφανὲς
I-had-said was-looked-at-askance since and the of-the family distinction
καὶ τὸ πρὸς αὐτὸν συγγενές, ἔτι γε μὴν τὸ πρὸς
and the to him kinship still at-least however the toward
τοὺς μεγάλους γνήσιον τούτου οὐκ εἴα τὸν βασιλέα ἐν
the great(-ones) loyalty of-him not allowed the emperor in
περιφρονήσει φέρειν τὰ κατ᾽ αὐτόν, τί δὴ ποιεῖ;
contempt to-hold the(-affairs) concerning him what indeed does
στέλλει τοῦτον πρὸς τὸν πατριάρχην. ὁ Μανουὴλ ἦν τότε
sends him to the patriarch — Manuel was then
τὰ τῆς πατριαρχίας διαθύνων πηδάλια, ἀνὴρ εὐλαβοῦς καὶ
the of-the patriarchate steering rudders man of-pious both
βίου καὶ πολιτείας σεμνῆς, εἰ καὶ γυναικὶ συνεζύγη, ἄλλως
life and conduct dignified if even to-a-wife he-was-yoked otherwise
δὲ οὐ πεπειραμένος γραμμάτων οὐδὲ ὧν ἀνεγίνωσκεν
but not experienced in-letters nor of-what he-read
ἀνελίττων τὴν ἔννοιαν. καὶ γράφει πρὸς τοῦτον ὁ
unrolling the sense and writes to him the
βασιλεὺς ἐπιτιμίῳ καθυποβαλεῖν τὸν Κομνηνὸν Μιχαὴλ
emperor to-a-penance to-subject — Komnenos Michael
καὶ ὅρκοις αὐτὸν ἐμπεδῶσαι, μὴ ἄν ποτε βουληθῆναι
and with-oaths him to-bind not — ever to-wish
ἀπιστίαν κατὰ τοῦ βασιλέως μελετῆσαι, φυλάττειν δὲ
faithlessness against the emperor to-practice to-keep but
καθαρὰν αὐτοῦ τὴν πρὸς τὸν κρατοῦντα διάθεσιν. γέγονε
pure his the toward the ruling(-one) disposition happened
ταῦτα, καὶ ὁ βασιλεὺς τὸν Κομνηνὸν ἀνεδέξατο Μιχαὴλ
these-things and the emperor — Komnenos received Michael

καὶ συζεύγνυσιν αὐτῷ εἰς γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ
and yokes to-him as wife of-the brother his
τοῦ σεβαστοκράτορος Ἰσαακίου τοῦ Δούκα ἐγγόνην τὴν
the sebastokrator Isaac the Doukas granddaughter —
Θεοδώραν, ἣν μόνην ὁ πατὴρ αὐτῆς καταλελοιπὼς ὁ
Theodora whom alone the father her having-left the
τοῦ σεβαστοκράτορος υἱὸς Ἰωάννης ἔτι ἐν μείραξιν
of-the sebastokrator son John still among youths
ὢν τὸ χρεὼν ἐξεμέτρησε, χήραν μὲν τὴν αὐτοῦ γαμετὴν
being the debt measured-out as-widow indeed the his wife
Εὐδοκίαν ἀφείς, τὴν τοῦ Ἀγγέλου Ἰωάννου θυγατέρα,
Eudokia having-left the — of-Angelos John daughter
ὀρφανὴν δὲ τὴν θυγατέρα αὐτοῦ Θεοδώραν, ἥτις εὐτυχῶς
orphan and the daughter his Theodora who fortunately
τῷ Κομνηνῷ τότε συνέζευκτο Μιχαήλ· ἡ γὰρ μήτηρ αὐτῆς
— to-Komnenos then was-yoked Michael the for mother her
Εὐδοκία καίτοι γε νέα οὖσα πάνυ τὴν χηρείαν φέρειν
Eudokia although at-least young being very the widowhood to-bear
ἠσπάσατο, ἀρετὴν δὲ ἐφίλει καὶ τὸ καθάπαξ προσανέχειν
embraced virtue and loved and the once-for-all to-attend
θεῷ. διὰ ταῦτα καὶ ἀντιμισθίαν ἀντιλαμβάνει πρὸς
to-God because-of these-things also as-recompense receives from
θεοῦ τὸ κῆδος. καὶ ταῦτα μὲν ἔσχεν οὕτω.
God the marriage-alliance and these-things indeed had so
52 Ὁ δὲ βασιλεὺς τὰ τῆς ἕω μέρη κατειληφὼς καὶ τοῦ
the and emperor the of-the east parts having-reached and of-the
ἐνιαυτοῦ ἐκείνου παρῳχηκότος αὖθις περὶ τὴν προκαθημένην
year that having-passed again about the leading
τῶν Βιθυνῶν πόλιν ἀφίκετο Νίκαιαν. καιρὸς ἦν περὶ τὰ τοῦ
of-the Bithynians city arrived Nicaea time was about the of-the
χειμῶνος τέλη, καὶ φθίνων ἐτύγχανε Φεβρουάριος. καὶ ὁ
winter ends and waning happened February and the

βασιλεὺς ἐπὶ τῆς κλίνης ἑσπέρας καθήμενος — παρέδραμε
emperor on the bed of-evening sitting had-run-past
δὲ καὶ μέρος τι τῆς νυκτός — αἴφνης γεγονὼς ἄφωνος,
and also part some of-the night suddenly having-become speechless
πρηνὴς ἐπὶ τῆς κλίνης πεσὼν ἦν τὸ ἀπὸ τοῦδε ἄναυδος
headlong on the bed having-fallen was the from this(-time) voiceless
τὸ καθόλου. χεῖρες δὲ ἰατρῶν ὑπούργουν ἐν τούτῳ καὶ
the at-all hands and of-physicians served in this and
ἀμυχὰς ἐν τοῖς ποσὶν ἐποίουν καὶ ἐφόλβιον ταῖς ἀμυχαῖς
scarifications in the feet they-made and euphorbium to-the scarifications
ἐνέβαλλον καὶ ἀλλ᾽ ἄττα ἔπραττον, ὁπόσα ἡ τέχνη
applied and other some(-things) did as-many-as the art
ἐδίδασκεν. ἀλλ᾽ ὁ βασιλεὺς ὅλην τε ταύτην τὴν νύκτα καὶ
taught but the emperor whole both this the night and
τὴν ἐπιοῦσαν ἡμέραν καὶ αὖθις τὴν ἑτέραν νύκτα ἀκίνητος
the following day and again the other night motionless
ἔκειτο· ἀποπληξία γὰρ ἦν ἡ νόσος καὶ οὕτω βαρεῖα, ὥστε
lay apoplexy for was the illness and so heavy so-as
διαρκέσαι τοσοῦτον εἰς ἀκινησίαν καὶ ἀφωνίαν. μόγις οὖν
to-last so-long in immobility and speechlessness hardly then
ἀνέπνευσε καὶ εἰς ἑαυτὸν ἦλθεν, ἦν δὲ ἠλλοιωμένος τὸ
he-breathed-again and to himself came was but changed the
χρῶμα. ἔσπευσε γοῦν καταλαβεῖν τὸ Νύμφαιον φθάσαι τε
color hastened then to-reach — Nymphaion to-arrive both
πρὸ τῆς βαϊοφόρου κυριακῆς, καθ᾽ ἣν εἴωθε θριαμβεύειν ὁ
before the palm-bearing Sunday on which is-wont to-triumph the
βασιλεύς. ἐπιτείνας οὖν τὴν ὁδὸν ἀφίκετο εἰς τὸ Νύμφαιον,
emperor having-pressed then the road arrived at — Nymphaion
κἀκεῖσε τὸν κατὰ τὴν βαϊοφόρον θρίαμβον ἐξετέλεσε καὶ
and-there the at the palm-bearing triumph completed and
τὴν ἀναστάσιμον ἑωρτάκει ἡμέραν. καὶ τὸ ἀπὸ τοῦδε τοῖς
the resurrection had-feasted day and the from this(-time) in-the

τοιούτοις ἐπεχωρίαζε μέρεσι, τῇ κατασχούσῃ τοῦτον νόσῳ
such stayed parts by-the having-seized him illness
κατὰ διαστήματα ἡμερῶν τρυχόμενός τε καὶ πιεζόμενος.
at intervals of-days being-worn both and being-pressed
ποτὲ μὲν γὰρ ἐν τῷ παλατίῳ διάγων εὐθὺς ἐπὶ κλίνης
at-times indeed for in the palace staying at-once on bed
ἔπιπτεν ἄφωνος, ποτὲ δὲ ἐφ' ἵππου βαίνων καὶ ὁδὸν
fell speechless at-times and on horse mounting and road
βαδίζων ὑπὸ τῆς νόσου ἐγίνετο κάτοχος, καὶ οἱ
traveling by the illness became seized and the(-ones)
συμπαρόντες κατεῖχόν τε καὶ πρὸς ὥραν παρεφύλαττον,
present held both and for an-hour guarded
ὥστε μὴ γνωρίζεσθαι τοῖς πολλοῖς· ἐπὰν δὲ εἰς λογισμὸν
so-as not to-be-known to-the many when and to reason
ἐπανῆκε, σχολῇ πρὸς τὰ βασίλεια ἐπανέστρεφεν· ἐνίοτε
he-returned slowly to the palace returned sometimes
δὲ καὶ φοράδην ἐπὶ θρόνου ἐν τοῖς ἀνακτόροις ὑπὸ τῶν
and also carried on throne in the palace by the
οἰκείων ἤγετο. ἐπεὶ δὲ ἡ νόσος ἐπηύξανε, τὸ σῶμα
household was-brought when and the illness increased the body
τοῦ βασιλέως κατέπιπτε· συνεχέστερον γὰρ ἤρξατο πάνυ
of-the emperor fell-away more-continuously for began very
τούτῳ ἐγγίνεσθαι. σύντηξις γοῦν ἦν αὐτῷ τῶν σαρκῶν,
to-him to-come-on wasting then was to-him of-the flesh
καὶ τὸ δεινότερον, ἡ ἀτροφία τοῦτον ἐπίεζεν.
and the more-terrible the atrophy him pressed
Ἐπεὶ οὖν χεῖρες ἰατρῶν εἰς τὴν νόσον ἀπέκαμον,
when then hands of-physicians at the illness grew-weary
παραμυθίαν βουλόμενος μικρὰν ἐφευρεῖν ἠθέλησεν εἰς τὴν
consolation wishing small to-find-out he-wished to —
Σμύρνην ἀπελθεῖν, ὅπως τῷ ἐκεῖσε προσκυνήσῃ Χριστῷ
Smyrna to-go-off so-that to-the there he-might-worship Christ

παράκλησίν τε ποιήσῃ καὶ ἵλεων αὐτὸν ἀπεργάσοιτο.
supplication both might-make and propitious him might-render
ἀφικόμενος οὖν ταῦτα μὲν διεπράξατο, ἀνακωχὴν δὲ
having-arrived then these-things indeed he-accomplished respite but
τοῦ πάθους οὐχ εὗρεν, ἀλλ' ἐν τοῖς Περικλύστροις Τόποις
of-the affliction not found but in — Periklystra Places
σκηνούμενος — τόπος δέ ἐστιν οὗτος ἐγγύς που τῆς
encamping place and is this near somewhere —
Σμύρνης, διὰ τὸ πολλοῖς τοῖς ὕδασι περικλύζεσθαι οὕτω
Smyrna because-of the by-many the waters to-be-washed-around thus
πως κατονομαζόμενος — μείζονος ἢ μᾶλλον χείρονος τοῦ
somehow named greater or rather worse of-the
πάθους ἐπῄσθετο. ἐκεῖθεν οὖν ἀπάρας πονήρως λίαν ἔχων
affliction perceived thence then having-set-out badly very being
τοῦ σώματος καταλαμβάνει τὸ Νύμφαιον. καὶ ἐν μὲν
in-the body reaches — Nymphaion and in indeed
τοῖς βασιλικοῖς οὐκ ἀπῆλθεν οἰκήμασιν, ἐν δὲ τοῖς ἐγγύς
the imperial not went-away dwellings in but the near
που τῆς χώρας βασιλείοις κήποις τὰς ἀνακτορικὰς
somewhere of-the land imperial gardens the palace
σκηνὰς ἐνιδρύσατο. ἔνθα καὶ τῷ χρεὼν ἐλειτούργησε τρίτῃ
tents set-up where also to-the debt paid-service third
καλανδῶν Νοεμβρίου, ἑξήκοντα καὶ δύο, ὡς οἱ τὰ
of-the-calends of-November sixty and two as the(-ones) the(-things)
περὶ αὐτοῦ ἀκριβέστερον εἰδότες ἔφασαν, ἔτη βιώσας, ἐξ
about him more-exactly knowing said years having-lived of
ὧν τριάκοντα καὶ τρία βεβασίλευκε καλῶς τε καὶ ἀγαθῶς.
which thirty and three he-reigned well both and nobly
πρᾶος γὰρ ἦν καὶ πρὸς τὸ φιλανθρωπότερον ἀεὶ
gentle for he-was and toward the more-humane always
ἀπονεύων· δωρεαῖς μὲν πρὸς τοὺς αὐτοῦ ἧττον ἐχρᾶτο,
inclining with-gifts indeed toward the(-ones) his-own less he-dealt

πρὸς δὲ τοὺς ξένους καὶ μᾶλλον τοὺς ὡς πρέσβεις
toward but the foreigners and rather the(-ones) as envoys
ἀφικομένους δαψιλεστέραν τὴν χεῖρα προύτεινεν, ἵν' ὑπ'
arriving more-lavish the hand stretched-out that by
αὐτῶν ἐπαινοῖτο. ἐρώτων δὲ θηλέων ἡττᾶτο, ἐξ
them he-might-be-praised by-loves and of-women he-was-overcome from
ὅτου ἡ σύζυγος αὐτοῦ καὶ βασιλὶς Εἰρήνη ἐξ ἀνθρώπων
which(-time) the wife his and empress Irene from men
ἐγένετο· καὶ πολλαῖς μὲν καὶ ἄλλαις εἰς φανερὰν ἐχρήσατο
became and with-many indeed also others in open used
μίξιν, μάλιστα δὲ τῆς ἐξ Ἰταλίας ἐλθούσης ὡς
intercourse especially and of-the(-woman) from Italy having-come as
θεραπαινίδος μὲν τῆς ἐξ Ἀλαμανῶν συζύγου βασιλίδος
maidservant indeed of-the from Germans wife empress
Ἄννης, ἀντιζήλου δὲ αὐτῆς γεγενημένης Μαρκεσίνης τε
Anna rival but to-her having-become Markesina both
ὀνομαζομένης τοῦ ἔρωτος ἥττητο. καὶ ἐς τοσοῦτον τῆς
being-named by-the love was-overcome and to so-great of-the
ἀγάπης αὐτῆς ἐξεκρέματο, ὡς καὶ πέδιλα ὑποδεδέσθαι δοῦναι
love her hung-upon that also sandals to-wear to-give
ταύτην κοκκοβαφῆ καὶ ἐφεστρίδας τοιαύτας καὶ χαλινά,
her scarlet-dyed and saddle-cloths such and bridles
ἕπεσθαί τε αὐτῇ πλείους ἢ τῇ κυρίως δεσποίνῃ, ἄλλα
to-follow both her more than the properly mistress other(-things)
τε πολλὰ ἐποίει ταῖς ἐκείνης δουλεύων ὀρέξεσι. καρτερικὸς
both many he-did the of-her serving appetites enduring
δὲ ἦν ἐν ταῖς μάχαις οὗτος ὁ βασιλεύς. καὶ τοῖς μὲν κατὰ
and was in the battles this the emperor and in-the indeed in
συστάδην πολέμοις οὐκ ἔχαιρε, τὸ ἀλλοπρόσαλλον τοῦ
close-quarters wars not rejoiced the fickleness —
Ἄρεως δειλιῶν καὶ τὸ περὶ ταῦτα ἄδηλον ὑπολογιζόμενος·
of-Ares fearing and the about these-things uncertain reckoning

τῇ καρτερίᾳ δὲ χρώμενος καὶ ἐνεαρίζων μὲν εἰς τὴν
with-the endurance but using and spending-the-spring indeed into the
τῶν ἐναντίων γῆν καὶ τὴν θέρους ὥραν διαβιβάζων, ἔτι
of-the opponents land and the of-summer season passing still
δὲ καὶ τὴν φθίνουσαν ὀπώραν διανύων, ἐνίοτε δὲ καὶ
and also the waning autumn completing sometimes and also
παραχειμάζων, τὴν νικῶσαν ἐλάμβανεν, ἀποκαμνόντων
wintering the victory took growing-weary
τῶν ἐναντίων τῇ τοῦ βασιλέως ἐνστάσει τε καὶ ὑπομονῇ.
the opponents at-the of-the emperor persistence both and patience
Ἐτεθνήκει μὲν οὖν ὁ βασιλεὺς Ἰωάννης, τῷ υἱῷ αὐτοῦ
had-died indeed then the emperor John to-the son his
Θεοδώρῳ τὴν βασιλείαν καταλελοιπώς, τριάκοντα καὶ τρία
Theodore the empire having-left thirty and three
ἔτη διανύοντι. τοσοῦτος γὰρ ὁ χρόνος αὐτῷ ὁπόσος τῆς
years completing so-great for the time to-him as-great-as of-the
πατρικῆς βασιλείας ἐτύγχανε· σχεδὸν γὰρ τῇ πατρικῇ
paternal reign happened almost for with-the paternal
ἀναρρήσει καὶ ἡ γέννησις ἐκείνου συνέδραμεν. ἐλπὶς μὲν
proclamation also the birth his coincided hope indeed
οὖν πᾶσιν ἦν Ῥωμαίοις καὶ μάλιστα τοῖς ἐν στρατείᾳ
then to-all was Romans and especially to-the(-ones) in military-service
τελοῦσι καὶ τοῖς ἐν τοῖς βασιλείοις διάγουσι πολλῶν
being and to-the(-ones) in the palace staying of-many
ἀγαθῶν πρὸς τοῦ νέου ἐπιτεύξασθαι βασιλέως· καὶ εἴ
good(-things) from the young to-obtain emperor and if
τις ἦν πρὸς τοῦ πατρὸς ἐκείνου λελυπημένος ἢ στέρησιν
any-one was by the father his grieved or deprivation
χρημάτων πεπονθὼς ἢ καὶ κτημάτων, ἐλπίδας εἶχε λύσιν
of-money having-suffered or also of-possessions hopes had release
εὑρεῖν τῶν κακῶν. οὕτω μὲν οὖν οἱ πάντες ἤλπιζον.
to-find of-the ills so indeed then the all hoped

τό τε γὰρ νέον τῆς ἡλικίας καὶ τὸ πρὸς ἅπαντας
the both for youthfulness of-the age and the toward all
χαρίεν καὶ τὸ πράως τοῖς ξυνιοῦσι προσφέρεσθαι
charming and the gently to-the(-ones) coming-together to-behave
καὶ ἱλαρῶς τοῖς συντυγχάνουσιν ὁμιλεῖν, ἃ δὴ
and cheerfully with-the(-ones) meeting to-converse which indeed
πάντα φενάκη ἦν καὶ ὑποκριτικὸν προσωπεῖον, ταῦτα
all deceit was and hypocritical mask these-things
ἐποίουν φαντάζεσθαι. ἀλλ᾽ ἥμαρτον τοῦ σκοποῦ, καὶ
made to-imagine but they-missed the mark and
τὸ τῆς παροιμίας ἄνθρακες αὐτοῖς ἐκ θησαυρῶν
the(-saying) of-the proverb coals to-them from treasures
ἀνεφάνησαν. τοιοῦτος γὰρ πρὸς τοὺς ὑπηκόους ἐφάνη
appeared such for toward the subjects he-appeared
καὶ οὑτωσὶ τοῖς ὑπὸ χεῖρας ἐχρήσατο, ὡς πάντας τὸν
and so-thus the(-ones) under hands treated so-that all the
πατέρα μακαρίζειν καὶ βασιλέα· καὶ εἰ λίαν ὑπῆρξέ τις
father to-count-blessed and emperor and if very there-was any-one
δεινὰ παρ᾽ ἐκείνου παθών, πρὸ τῆς αὐτοῦ τελευτῆς
terrible(-things) from that(-man) having-suffered before the his death
ἐξ ἀνθρώπων γενέσθαι ἑαυτὸν ἠγάπα καὶ ηὔχετο τὴν
from men to-become himself loved and prayed the
ζωὴν καταλῦσαι καὶ συναριθμηθῆναι τοῖς πλείοσιν.
life to-end and to-be-counted-with the majority

53 Οὕτω μὲν οὖν ὁ βασιλεὺς Θεόδωρος τῶν βασιλείων
so indeed then the emperor Theodore of-the imperial
ἐπείληπτο θρόνων. τὴν νενομισμένην γοῦν ὁσίαν ἀποδοὺς
had-taken-hold-of thrones the customary then holy-rite having-rendered
τῷ βασιλεῖ καὶ πατρὶ καὶ καθεσθεὶς ἐπ᾽ ἀσπίδος ὡς ἔθος
to-the emperor and father and having-been-seated on shield as custom
καὶ ὑπὸ πάντων φημισθεὶς αὐτοκράτωρ, τοῦ Νυμφαίου
and by all acclaimed autocrat — from-Nymphaion

ἀπάρας ἐπὶ τὴν Φιλαδέλφειαν ἀφίκετο. μεγίστη δὲ αὕτη
having-set-out to — Philadelphia arrived very-great and this
πόλις καὶ πολυάνθρωπος καὶ ὁπλίζεσθαι δεδυνημένους
city and populous and to-be-armed able
οἰκήτορας ἔχουσα καὶ μάλιστα τοξείαν ἀσκοῦντας·
inhabitants having and especially archery practicing
ἀγχιτερμονοῦσα δὲ τοῖς Περσικοῖς ὁρίοις ἀεὶ διαμάχεσθαι
bordering and on-the Persian borders always to-fight-it-out
τοῖς ὑπεναντίοις τούτους ποιεῖ καὶ ἐθάδας πολέμων
with-the opponents them makes and accustomed of-wars
ἐργάζεται. ἐκεῖσε οὖν διακαρτερήσας μικρὸν καὶ ὅσον
renders there then having-stayed a-little and as-long-as
πρεσβείαν στεῖλαι πρὸς τὸν σουλτάν, περὶ τὰ Βιθυνῶν
embassy to-send to the sultan to the of-Bithynians
κεχώρηκε μέρη καὶ τὴν τῆς χώρας ταύτης προκαθημένην
went parts and the of-the land this leading
πόλιν τὴν Νίκαιαν. ἐπεὶ δὲ ἐχήρευε τοῦ πατριαρχοῦντος ἡ
city — Nicaea when and was-widowed of-the patriarch the
ἐκκλησία — πέφθακε γὰρ ὁ πατριάρχης Μανουὴλ μικρόν
church had-managed for the patriarch Manuel little
τι τοῦ βασιλέως Ἰωάννου προτελευτῆσαι — ἔδει δὲ
some the emperor John to-die-before it-was-necessary and
πρῶτον πατριάρχην προβληθῆναι, ἵν' ἐπὶ τῷ βασιλεῖ τὴν
first patriarch to-be-put-forward that on the emperor the
στεφηφορίαν ἐν τῷ ἱερῷ τελεσιουργήσῃ τεμένει, ἐζητεῖτο
coronation in the sacred he-might-perform precinct was-sought
μὲν ὁ ἄξιος τοῦ τοιούτου θρόνου, ἡ δόξα δὲ τοῖς
indeed the worthy of-the such throne the opinion and of-the
πολλοῖς ἐπὶ τῷ Βλεμμύδῃ ἐτύγχανε Νικηφόρῳ, τῷ ἐμῷ
many on — Blemmydes happened Nikephoros the my
διδασκάλῳ τῶν τῆς φιλοσοφίας λόγων τε καὶ δογμάτων,
teacher of-the of-the philosophy words both and doctrines

ἀνδρὶ ἐκ νεότητος τὸν ζυγὸν ἀραμένῳ τοῦ μονήρους
man from youth the yoke having-taken-up of-the solitary
βίου καὶ περιβοήτῳ τυγχάνοντι καὶ περὶ λόγον καὶ ἀρετήν,
life and renowned being both about letters and virtue
κἂν ἐνίων ὁ φθόνος καὶ μάλιστα τῶν προυχόντων οὐ
even-if of-some the envy and especially of-the leading-men not
μόνον οὐκ ἐκφανῆ τούτῳ τὰ τῆς ἀρετῆς ἐποίει, ἀλλὰ
only not conspicuous to-him the(-things) of-the virtue made but
καὶ κακίας τινὰς αὐτῷ προσεκόλλα. οὗτος οὖν πρὸς τὸν
also vices some to-him glued this(-man) then toward the
βασιλέα Θεόδωρον φιλίως διέκειτο καὶ παρ᾽ αὐτοῦ ἐφιλεῖτο·
emperor Theodore friendly was-disposed and by him was-loved
τῶν γὰρ λόγων, ἐν οἷς τὰ πολλὰ ἐβρενθύετο, διδάσκαλον
of-the for letters in which the most he-prided teacher
καὶ αὐτὸν ἐπεγράφετο. ὁ δὲ πρὸς τὸ ἦθος τοῦ βασιλέως
also him he-inscribed he and toward the character of-the emperor
ὁρῶν ὀκνηρότερος περὶ τὸ πρᾶγμα ἐτύγχανεν. οὐ μὴν
looking more-hesitant about the matter happened not however
ἀλλὰ καὶ ὁ βασιλεὺς αὐτὸς μαλακώτερον αὐτοῦ ἐπειρᾶτο·
but also the emperor himself more-softly of-him made-trial
μᾶλλον γὰρ πρὸς βουλήσεως ἦν αὐτῷ τὴν προστασίαν
rather for according-to wish was to-him the presidency
μὴ καταδέξασθαι. ταπεινοτέρους γὰρ καὶ μετρίους εἶναι τὸ
not to-accept humbler for and moderate to-be the
φρόνημα τοὺς πατριαρχεύοντας οἱ κρατοῦντες ἐθέλουσι
spirit the patriarchs the(-ones) ruling wish
καὶ προσπίπτειν εὐχερῶς τοῖς σφῶν αὐτῶν βουλήμασιν
and to-fall-in easily with-the of-themselves themselves wishes
ὡς προστάγμασι. τοῦτο δὲ μᾶλλον οἱ ἀγροικότεροι
as commands this and rather the more-rustic
πάσχουσιν, οὐδὲ γὰρ ἔχουσι τοῖς λόγοις θαρρεῖν· οἱ
suffer not-even for are-able in-the letters to-trust the(-ones)

δὲ περὶ λόγους ἀκαμπέστεροι φαίνονται καὶ τοῖς ἐκείνων
but about letters more-unbending appear and to-the their
ὁρισμοῖς ἀντιπίπτουσιν. ὁ γοῦν βασιλεὺς Θεόδωρος διὰ
decrees fall-against the then emperor Theodore because-of
ταῦτα μικράν τινα πεῖραν λαβὼν τοῦ ἀνδρὸς ἐφ' ἑτέρους
these-things small some trial having-taken of-the man to others
ἐτράπετο. καὶ ἐπεὶ δυσαρεστῶν ἐτύγχανεν ἐν πολλοῖς,
turned and since displeased he-was in many(-things)
μοναχόν τινα εἶναι μαθὼν ἐν τῇ τῆς Ἀπολλωνιάδος
monk some to-be having-learned in the — of-Apollonias
λίμνῃ ὀλίγων γραμμάτων πεῖραν ἔχοντα — μόνον καὶ
lake of-few letters experience having only also
γὰρ ἐφήψατο τῆς γραμματικῆς παιδείας — ἀνίερον
for he-had-touched the grammatical education unordained
τελοῦντα καὶ Ἀρσένιον ὀνομαζόμενον, ὡς εἶχε τάχους
being and Arsenios named as he-had of-speed
στέλλει τοὺς αὐτὸν ἄξοντας. καὶ ὃς ἀφίκετο. ἐπεὶ δὲ
sends the(-ones) him to-bring and he arrived when and
τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον ἔσπευδε, διὰ τάχους τοῖς
the from — Nicaea departure he-hastened with speed to-the
ἀρχιερεῦσι προστάττει χειροτονῆσαι πατριάρχην αὐτὸν
high-priests orders to-ordain patriarch him
ὁ βασιλεύς· οἳ καὶ οὑτωσὶ διεπράξαντο, ἐν μιᾷ ἡμέρᾳ
the emperor who also so-thus accomplished in one day
διάκονον καὶ ἱερέα καὶ πατριάρχην αὐτὸν ἐκτελέσαντες.
deacon and priest and patriarch him having-made
Ἡ δ' αἰτία τοῦ ἐπισπεύδειν τὴν ἀπὸ τῆς Νικαίας ἔξοδον 54
the and cause of-the hastening the from — Nicaea departure
ἦν αὕτη. ὁ βουλγαράρχης Μιχαήλ, ὃς γυναικάδελφος τοῦ
was this the Bulgarian-ruler Michael who brother-in-law of-the
βασιλέως ἐτύγχανε Θεοδώρου, τῷ πενθερῷ αὐτοῦ Ἀσὰν
emperor happened Theodore to-the father-in-law his Asan

Ἰωάννῃ ἐκ τῆς τοῦ Ἀγγέλου Θεοδώρου θυγατρὸς γεννηθείς,
John from the — of-Angelos Theodore daughter born
τὸν τοῦ βασιλέως Ἰωάννου πυθόμενος θάνατον, ἐπεὶ
the of-the emperor John having-learned death since
τὰ δυτικὰ μέρη γυμνὰ στρατευμάτων ἑώρα Ῥωμαϊκῶν,
the western parts bare of-armies saw Roman
βουληθεὶς τὴν ἀφῃρημένην πρὸς τοῦ βασιλέως Ἰωάννου
having-wished the taken-away by the emperor John
χώραν ἐκ Βουλγάρων καὶ τὰ ἐν αὐτῇ ἄστη πρὸς
land from Bulgarians and the in it towns to
Βουλγαρικὴν τὴν ἀρχὴν καὶ αὖθις ἀνακαλέσασθαι —
Bulgarian the rule also again to-recall
τοῦτο γὰρ ἐκ μακροῦ τοῖς Βουλγάροις ὠδίνετο — καὶ
this for from long-ago to-the Bulgarians was-in-travail and
τὸν καιρόν, ὡς ἐδόκει, κατιδὼν ἐπιτήδειον, ἐξορμήσας τοῦ
the season as seemed having-seen suitable having-set-out —
Αἵμου καὶ τὸν Ἕβρον διαπεράσας ἐν οὐ πολλῷ χρόνῳ
from-Haimos and — Hebros having-crossed in not much time
πολλήν τε χώραν ὑφ᾽ ἑαυτὸν ἐποιήσατο πολλά τε
much both land under himself made many both
ἄστη σὺν οὐδενὶ παρεστήσατο πόνῳ. Βούλγαροι καὶ γὰρ
towns with no brought-over toil Bulgarians also for
τυγχάνοντες οἱ οἰκήτορες τοῖς ὁμοφύλοις προσέτρεχον,
being the inhabitants to-the kinsmen ran-over
τὸν ζυγὸν τῶν ἀλλογλώσσων ἀποσειόμενοι· τὰ δὲ ἄστη
the yoke of-the other-tongued shaking-off the and towns
μετὰ τῶν Ῥωμαϊκῶν καὶ μόνων ἀπολελειμμένα φυλάξεων,
with the Roman and only left-behind guards
οὐκ ἀξίων τοιούτοις καιροῖς ἀντιμάχεσθαι, εὐχείρωτα τοῖς
not worthy in-such times to-fight-against easy-to-subdue to-the
Βουλγάροις ὑπῆρχε, τῶν μὲν πτοίᾳ ταραττομένων
Bulgarians were of-the(-ones) indeed by-terror being-troubled

καὶ προδιδόντων τὰ ἄστη καὶ λαμβανόντων τὴν πρὸς
and betraying the towns and taking the toward
τὰ οἴκοι ἐλευθερίαν, τῶν δὲ πρὸς τὴν ἐξαπίνης
the(-places) at-home freedom of-the(-others) and toward the sudden
γεγενημένην τῶν Βουλγάρων ἔφοδον μηδὲν ἐχόντων ἐκ
having-happened of-the Bulgarians attack nothing having from
τοῦ προχείρου νοῆσαι λυσιτελοῦν ἀποδιδρασκόντων καὶ
the readiness to-think profitable running-away and
ταῦτα ἔρημα τῶν φυλαττόντων ἀπολιμπανόντων, ἄλλων
these deserted of-the guards leaving others
δὲ ἴσως καὶ χρόνῳ ἀποκαμόντων, παραταθέντος αὐτοῖς
and perhaps also by-time growing-weary having-been-extended for-them
παρὰ τὸ μέτρον τοῦ χρόνου τῆς φυλακῆς. τὰ πλείω δὲ
beyond the measure of-the time of-the guard the more and
τῶν ἄστεων καὶ ἀπεριποίητα ἦν καὶ τῶν χρειωδῶν ὅπλων
of-the towns also unprovided were and of-the needful arms
ἄμοιρα. κατεσχέθη μὲν οὖν ἐκ τοῦ παραυτίκα Στενίμαχος
without-share were-seized indeed then from the instant Stenimachos
Περιστίτζα Κρυτζιμὸς Τζέπαινα καὶ τὰ ἐν τῇ
Peristitza Krytzimos Tzepaina and the(-places) in the(-region)
Ἀχριδῶν ξύμπαντα πλὴν Μνειάκου· τοῦτο γὰρ καὶ μόνον
of-Achridos all except Mneiakos this for also alone
ὑπὸ Ῥωμαίων πεφύλακται. Οὔστρα δὲ καὶ Περπεράκιον
by Romans was-guarded Oustra and also Perperakion
καὶ Κρυβοῦς καὶ τὸ παρακείμενον τῇ τοῦ Ἀδριανοῦ
and Krybous and the(-place) lying-beside to-the — of-Hadrian
καὶ κεκλημένον Ἐφραΐμ τοῖς Βουλγάροις κεχείρωνται.
and called Ephraim by-the Bulgarians were-subdued
τούτων οὖν οὕτω γεγενημένων καὶ τῶν ἐν δυσμοῖς
these then thus having-happened and of-the in west
Ῥωμαϊκῶν κλονουμένων πραγμάτων, τῆς φήμης μέχρι
Roman being-shaken affairs the report up-to

καὶ ἐς βασιλέως ἐπιδραμούσης καὶ πλειόνων προσδοκίαν
also to emperor having-run and of-more expectation
κακῶν τῶν προσόντων φαντασίαν παρεχομένης, οἱ
ills of-the(-ones) present imagination providing the(-ones)
περὶ τὰ βασίλεια οὐ μικρῶς ἐταράχθησαν. ἠπίσταντο γὰρ
about the palace not little were-troubled they-knew for
ὡς τὰ πλείω τῶν δυτικῶν μερῶν Βουλγάροις οἰκοῦνται,
that the most of-the western parts by-Bulgarians are-inhabited
ἀποστατήσασι πάλαι Ῥωμαίων, προσφάτως δὲ χειρωθεῖσι
having-revolted long-ago from-Romans recently and subdued
τῷ βασιλεῖ Ἰωάννῃ καὶ οὔπω πῆξιν τῆς χειρώσεως
by-the emperor John and not-yet fixity of-the subjection
λαβοῦσιν, ἔχθραν δὲ ἀεὶ πρὸς Ῥωμαίους ἐνδομυχοῦσι.
having-taken enmity and always toward Romans harboring-within

X · THEODORE II'S FIRST CAMPAIGNS

Against the Bulgarians' seizure of the western towns Theodore crosses in winter, takes Beroe, and recovers the Rhodope fortresses. His generals flee before Tzepaina. Dragotas besieges Melenikon and dies in the rout at the Roupelion. Theodore takes Belesos, fails at Tzepaina, and makes the unsoldierly Laskaris and Margarites commanders, honoring his favorites at Lampsakos.

55 Διὰ ταῦτα καὶ αὐτὸς ὁ βασιλεὺς ἠδημόνει τοῖς
because-of these-things also himself the emperor was-troubled at-the
πράγμασιν, εἰ οὕτω κατ' ἀρχὰς τῆς ἐξουσίας αὐτοῦ
affairs if so at beginnings of-the power his
δυστυχῶς πράττει. συναθροίσας οὖν τοὺς ἐν τέλει καὶ
unfortunately he-fares having-gathered then the(-ones) in office and
τοὺς εἰς στρατηγοὺς τεταγμένους, σὺν οἷς καὶ οἱ
the(-ones) as generals appointed with whom also the

πρὸς πάππου αὐτοῦ τοῦ βασιλέως Θεοδώρου ὑπῆρχον
on-the-side-of grandfather his the emperor Theodore were
αὐτῷ θεῖοι, ὅ τε Μανουὴλ καὶ ὁ Μιχαήλ, ἐβουλεύσατο
to-him uncles — both Manuel and — Michael he-deliberated
τί ἂν ἔχοι εἰς τὰ γεγενημένα διαπράττεσθαι. οἱ μὲν
what — he-could for the(-things) having-happened to-accomplish the indeed
οὖν πλείους διαπερᾶσαι τὸν βασιλέα τὸν Ἑλλήσποντον
then more to-cross the emperor — Hellespont
δέον ἔλεγον εἶναι καὶ στῆσαι τὴν τῶν Βουλγάρων φοράν.
necessary said to-be and to-stop the of-the Bulgarians onrush
τοῦτο δὲ τοῖς τοῦ κρατοῦντος θείοις τοῖς προειρημένοις
this but to-the of-the ruling(-one) uncles the(-ones) aforesaid
οὐκ ἤρεσκεν, οἷς καὶ προσεῖχε μᾶλλον ὁ βασιλεὺς
not pleased to-whom also attended rather the emperor
πολλῶν ἕνεκα· ἥ τε γὰρ γνησιότης τοῦ γένους ἠνάγκαζε
of-many for-the-sake the both for genuineness of-the family compelled
καὶ τὸ τῆς ἡλικίας γηραιὸν παρεβίαζεν, οὐχ ἧττον δὲ πρὸς
and the of-the age old forced not less and toward
τοῦτο καὶ τὸ πολλῶν πραγμάτων ἴδρεις αὐτοὺς γενέσθαι
this also the of-many affairs knowing them to-have-become
παρέπειθε. φυγάδες γὰρ οὗτοι γεγονότες τῆς τοῦ βασιλέως
persuaded fugitives for these having-become from-the of-the emperor
Ἰωάννου διακρατήσεως πολλοῖς προσωμίλησαν δεσπόταις
John rule with-many consorted masters
καὶ εἰς διαφόρους περιεπλανήθησαν τόπους, κἀντεῦθεν
and to various wandered-about places and-hence
κατὰ τὴν ποίησιν εἶδον ἄστεα καὶ νόον ἔγνωσαν. καὶ
according-to the poem they-saw towns and mind knew and
ἦσαν μὲν ὡς ἀληθῶς οὗτοι νοήμονες, οὐκ ὀρθὰ δὲ
were indeed as truly these intelligent not right(-things) but
ἐφρόνουν τοῖς τῶν Ῥωμαίων πράγμασιν, αἰτίαν ἔχοντες
thought for-the of-the Romans affairs cause having

τὸ παρευδοκιμηθῆναι τὰ πρῶτα παρὰ τοῦ ἀδελφοῦ καὶ
the to-have-been-surpassed in-the first(-honors) by the brother and
βασιλέως, μηδενὸς αὐτῶν εἰς ἀξίαν ἀνηγμένου βασιλέως
emperor none of-them to dignity having-been-raised of-an-emperor
ἀδελφοῖς διαπρέπουσαν, εἶτα καὶ παρὰ τοῦ γαμβροῦ καὶ
for-brothers distinguished then also by the son-in-law and
βασιλέως· καὶ φυγαδίαι τῆς Ῥωμαίων γεγενημένοι πρὸς
emperor and exiles from-the of-Romans having-become toward
αὐτοὺς ἐδυσμέναινον. καὶ ταῦτα μὲν ἴσως ἐρεῖ τις
them were-hostile and these-things indeed perhaps will-say someone
αἴτια εἶναι, τὸ δ' ἀληθὲς τὰ τῶν ἀνθρώπων ἤθη ἀβέβαια
causes to-be the but truth the of-the men characters unstable
ὄντα καὶ ἄστατα τοιούτους τυγχάνειν ἐποίουν. καὶ ταῦτα
being and unsteady such to-be made and these-things
μὲν οὐ διελάνθανεν οὐδὲ τὸν βασιλέα Θεόδωρον· τέως
indeed not escaped not-even the emperor Theodore meanwhile
οὖν ἐξ ἀνάγκης καὶ τῷ μὴ ἔχειν κρείττοσιν ἄλλοις
then from necessity and by-the not to-have better others
βουλεύεσθαι τούτοις ἐχρᾶτο πρὸς συμβουλάς. ὑπετίθεντο
to-consult these he-used for counsels proposed
γοῦν οὗτοι ὡς οὐ χρεὼν τὸν βασιλέα διαπερᾶσαι πρὸς
then these that not it-is-right the emperor to-cross to
τὴν δυσμήν, ὅτι τε κακῶς πράττει τὰ τοιαῦτα μέρη καὶ
the west because both badly fare the such parts and
ὡς νοσεῖ σχεδὸν ἀθεράπευτα, στράτευμά τε μὴ ἔχειν τὸν
that are-sick almost incurably army both not to-have the
βασιλέα προσῆκον πράξει βασιλικῇ· ὁ γὰρ χειμὼν ἐκώλυε
emperor fitting for-deed imperial the for winter prevented
τὴν συνάθροισιν τῶν δυνάμεων. καὶ τὸ ἐπιδημῆσαι κατὰ
the gathering of-the forces and the to-visit by
χώραν τὸν βασιλέα καὶ μὴ ἄξιον τοῦ ὀνόματος αὐτοῦ καὶ
land the emperor and not worthy of-the name his and

τῆς φήμης ἐργάσασθαι οὐ τῶν ἀφηρημένων καὶ μόνων
of-the fame to-accomplish not of-the(-places) taken-away and only
βεβαίωσιν ἐν τοῖς ἐχθροῖς ποιεῖται ἀλλὰ καὶ τῶν
confirmation in the enemies makes but also of-the(-places)
περιλελειμμένων ἀφαίρεσιν αὔξην τε τῶν ὑπεναντίων πολλῷ
left-over removal increase both of-the opponents by-much
μείζονα, ὡς καὶ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐλάττωσιν οὐ
greater as also of-the Roman affairs diminution not
σμικράν. ταῦτα μὲν ἔφασκον οὗτοι, ἄλλοι δὲ πάντες τὴν
small these-things indeed said these others but all the
βασιλικὴν περαίωσιν συνεβούλευον καὶ ταύτην κατήπειγον,
imperial crossing advised and it urged
μὴ λάθοι τὰ πάντα τῶν ἐν δυσμῇ ἢ τὰ πλείω
lest might-escape-notice the all of-the(-places) in west or the more
ταῖς τῶν ἐχθρῶν χερσὶν ἁλωθῆναι. ἡ τῶν πλειόνων γοῦν
to-the of-the enemies hands be-taken the of-the more then
ἴσχυσε βουλή, μάλιστα δὲ τοῦ βασιλέως τὸ πρόθυμον καὶ
prevailed counsel especially and of-the emperor the eagerness and
ὁ τῆς καρδίας αὐτοῦ ζῆλος, ἐκκαὴς γεγονὼς πρὸς τὴν
the of-the heart his zeal kindled having-become for the
κίνησιν. καὶ προσλαβόμενος τοὺς ὅσοι συνακολουθεῖν
movement and having-taken the(-ones) as-many-as to-follow
ἔτυχον, εἰς μέτριον ἀριθμουμένους στράτευμα, καὶ τοὺς
happened to moderate numbering army and the(-ones)
καθ' ὁδὸν ξυντυγχάνοντας καὶ τοὺς ἐγγύτερον τῆς
on road meeting and the(-ones) nearer of-the(-road)
φερούσης ὄντας καὶ δυναμένους αὐτοῖς ὅπλοις καὶ ἵπποις
leading being and able with-the-very arms and horses
ἐφέψεσθαι, διαπεραιοῦται τὸν Ἑλλήσποντον καὶ ὡς εἶχε
to-follow crosses — Hellespont and as he-had
τάχους τὴν Ἀδριανούπολιν πέφθακε.
of-speed — Adrianople reached

56 Μίαν δὲ καὶ μόνην ἡμέραν διακαρτερήσας ἐν ταύτῃ ἐξῆλθεν
one and also only day having-stayed in it he-went-out
ἐς νέωτα. καί τις τῶν ἐκ Βουλγάρων κατοπτήρων τὸν
for next-day and some-one of-the from Bulgarians scouts the
βασιλέα τεθεαμένος τῆς Ἀδριανοῦ ἐξερχόμενον δρομαῖος
emperor having-seen from-the of-Hadrian going-out running
περὶ τὸν βουλγάραρχον ἵκετο — περὶ τὸν Ἔβρον καὶ γὰρ
to the Bulgarian-ruler came at — Hebros also for
οὗτος ἐστρατοπεδεύετο — καὶ τὸ δρᾶμα διασαφεῖ καὶ
this(-man) was-encamped and the drama makes-clear and
τὴν τοῦ βασιλέως ἐξαγγέλλει κατ᾽ αὐτοῦ ταχεῖαν ἔφοδον,
the of-the emperor announces against him swift attack
καὶ ὅρκοις ἐβεβαιοῦτο ἢ μὴν ὀφθαλμοῖς τεθεᾶσθαι τὸν
and with-oaths confirmed truly indeed with-eyes to-have-seen the
βασιλέα τὴν πρὸς τῇ πόλει τυγχάνουσαν τοῦ ποταμοῦ
emperor the by the city being of-the river
Ἔβρου γέφυραν διαβαίνοντα. τοῦτο συνέχεε μὲν τοὺς
Hebros bridge crossing this confounded indeed the(-ones)
περὶ τὸν βουλγάραρχον, οὐ μὴν τοῦ τόπου καθ᾽ ὃν
about the Bulgarian-ruler not however from-the place in which
ἔλαχον στρατοπεδεύειν ἀπέστησεν, ἀλλ᾽ ἔμενον ἐκεῖσε
they-had-happened to-encamp removed but remained there
μέχρις ἂν γνοῖεν τὰ τῆς φήμης ἀκριβέστερόν
until — they-might-learn the(-things) of-the report more-exactly
τε καὶ καθαρώτερον. ἀλλ᾽ οὐδὲ τὸν βασιλέα ἡ τοῦ
both and more-clearly but not-even the emperor the of-the
βουλγαράρχου κατασκήνωσις λέληθεν, ἀλλ᾽ ἐμεμαθήκει τὸν
Bulgarian-ruler encampment escaped but he-had-learned the
τόπον, ὅπου δὴ τὸ στρατόπεδον εἶχε. ταχυτέραν γοῦν τὴν
place where indeed the camp he-had swifter then the
πορείαν ἐποιεῖτο καὶ τῶν ἵππων τὰς κινήσεις ἐπέτεινε, καὶ
march he-made and of-the horses the movements extended and

ηὔχετο τῷ Βουλγαρικῷ ξυντυχεῖν στρατεύματι. οὕτω γοῦν
prayed with-the Bulgarian to-meet army thus then
ἔχων ὁρμήματος ἔκ τινος συμβάματος ἐσφάλη τυχηρῶς
being of-impulse from some occurrence was-foiled by-chance
τοῦ βουλεύματος. οἱ γὰρ προάγοντες τῶν Ῥωμαϊκῶν
of-the plan the for leading of-the Roman
στρατευμάτων τοῖς εἰς φυλακὴν προτεταγμένοις τοῦ
armies with-the(-ones) for guard posted-before of-the
Βουλγαρικοῦ στρατοπέδου συμπεπτώκασι, καὶ πολλοὺς
Bulgarian camp fell-in and many
μὲν ξίφους ἔργον πεποίηνται, ἄλλους δὲ ζωγρίας εἷλον,
indeed of-sword work made others and alive took
σὺν αὐτοῖς δὲ καὶ τὸν τὴν ἡγεμονίαν τῆς στρατείας
with them and also the(-one) the command of-the expedition
ἔχοντα· οἱ δ' ἕτεροι φυγῇ χρησάμενοι νυκτὸς βαθείας
having the and others flight having-used by-night deep
εἰς τὸ Βουλγαρικὸν ἀπέδρασαν στράτευμα καὶ διηγοῦντο
to the Bulgarian ran-off army and narrated
πάντα καὶ τὸ πλησίον αὐτῶν ἤδη τυγχάνειν τὸν βασιλέα
all and the near them already to-be the emperor
διισχυρίζοντο. ὡς ἔτυχε γοῦν ἕκαστος τῶν Βουλγάρων καὶ
insisted as happened then each of-the Bulgarians and
αὐτὸς ὁ τούτων ἄρχων, ἐπιβὰς τοῦ ἵππου, περὶ τὰ
himself the their ruler having-mounted the horse about the
ἐνδότερα τῶν Βουλγαρικῶν ἐφέρετο χώρων. κατεδρύπτοντο
farther-in of-the Bulgarian was-borne lands were-torn
δὲ τούτων τοῖς τῶν δένδρων κλάδοις τὰ πρόσωπα,
and their by-the of-the trees branches the faces
συνηρεφέσι τούτοις ἐμπίπτοντα· ὃ δὴ καὶ αὐτὸς ὁ
overarching on-these falling which indeed also himself the
βουλγάραρχος πέπονθεν· ἔνιοι δὲ αὐτῶν καὶ γυμνοῖς
Bulgarian-ruler suffered some and of-them also bare

ἐφεστρίδων εἰς τὴν ὀχείαν τοῖς ἵπποις ἐχρήσαντο. οὕτω
of-saddle-cloths for the riding the horses used thus
γοῦν διαδράντες τὴν Ῥωμαϊκὴν ἀπέφυγον σπάθην. ἕωθεν δὲ
then having-run-away the Roman escaped sword at-dawn and
τὸν τόπον φθάσας ὁ βασιλεὺς καὶ ἔρημον στρατεύματος
the place having-reached the emperor and deserted of-army
Βουλγαρικοῦ κατιδὼν λελύπηται μέν, οὐκ εἶχε δ' ὅ τι
Bulgarian having-seen was-grieved indeed not he-had but what at-all
καὶ δράσειε. βουλὴν δὲ ποιησάμενος περὶ τὴν Βερόην χωρεῖ,
also he-might-do counsel and having-made toward — Beroe goes
κἀκεῖσε δὲ ἀφιγμένος αὐτοβοεὶ τὸ φρούριον εἷλεν. ἅπαν
and-there and having-arrived at-the-first-shout the fortress took all
γὰρ τὸ τεῖχος αὐτοῦ κατηρείπωτο καὶ διεξόδους εἶχε πολλάς,
for the wall its had-been-demolished and passages had many
καταβεβλημένον καὶ τοῦτο παρὰ τῶν Βουλγάρων σὺν τοῖς
thrown-down and this by the Bulgarians with the
λοιποῖς τῶν Ῥωμαϊκῶν ἄστεων, εἰ καὶ κάμαξι καὶ τοῖς ἐξ
other of-the Roman towns if even with-stakes and the from
ἁμαξῶν ξύλοις ἐδόκουν αὐτὸ κατοχυρώσασθαι οἱ οἰκήτορες.
wagons timbers seemed it to-fortify the inhabitants
τροφῶν γοῦν ηὐμοίρησε τὰ στρατεύματα, αὐτοί τε καὶ οἱ
of-provisions then had-plenty the armies themselves both and the
τούτων ἵπποι· ἐπέπληστο γὰρ τῶν χορτασμάτων τὸ ἄστυ.
their horses was-filled for of-the fodders the town
καὶ τάχα ἂν καὶ προσωτέρω ἐκεχωρήκει ὁ βασιλεὺς καὶ
and perhaps — also farther would-have-gone the emperor and
περὶ τὸν Αἷμον αὐτὸν καὶ τὰ ἐν αὐτῷ τυγχάνοντα φρούρια
toward — Haimos itself and the in it being fortresses
τὴν ἔφοδον ἐπεποίητο — πτοίαν γὰρ οὐ σμικρὰν τοῖς
the attack had-made terror for not small to-the
Βουλγάροις ἐνέβαλλεν — εἰ μὴ χειμὼν βαρύτατος αἴφνης
Bulgarians he-was-casting if not winter very-heavy suddenly

ἐπεισπεσὼν ἐκώλυσεν αὐτὸν τῆς ὁρμῆς· πολλὴ γὰρ χιὼν
having-fallen-upon hindered him from-the impulse much for snow
τὸ πρόσωπον τῆς γῆς ἐπηλύγασε, καὶ τὸ ἐπὶ ξένης καὶ
the face of-the earth covered and the on foreign and
πολεμίας τὰ Ῥωμαϊκὰ χρονίζειν στρατεύματα οὐ καλὸν
hostile(-ground) the Roman to-linger armies not good
ἐδόκει τοῖς ξυμβουλεύουσιν. ἡμέρας οὖν ἓξ ἐκεῖσε
seemed to-the(-ones) advising days then six there
διακαρτερήσας ὁ βασιλεύς, ἐπεὶ μὴ εἶχέ τι ἕτερον
having-stayed the emperor since not he-had anything other
δρᾶσαι, λείαν τὰ Βερόης ἅπαντα ποιησάμενος, ἄνδρας
to-do booty the(-things) of-Beroe all having-made men
γυναῖκας νήπια πρόβατα βόας καὶ σύμπαν ἄλλο κινεῖσθαι
women infants sheep oxen and all else to-be-moved
δυνάμενον, εἰς τὴν Ἀδριανοῦ τὴν ὑποστροφὴν ἐποιήσατο.
able to the of-Hadrian the return made
Ἐκεῖθεν γοῦν ἐπιλεξάμενος ἀξιόλογον στράτευμα περὶ τὰ 57
thence then having-selected considerable army to the
ἐν Ἀχριδῶν φρούρια ἐπεπόμφει τὰ πρὸ μικροῦ τοῖς
in of-Achridos fortresses had-sent the(-ones) before little by-the
Βουλγάροις κεχειρωμένα, εἴ πως καὶ αὖθις τῇ τῶν
Bulgarians subdued if somehow also again to-the of-the
Ῥωμαίων ὑπαχθεῖεν ἀρχῇ. ἐν αὐτοῖς γοῦν ἀφιγμένοι σὺν
Romans they-might-be-brought rule in them then having-arrived with
τοῖς στρατεύμασιν οἱ τῶν Ῥωμαίων ἡγήτορες μηχανήμασί
the armies the of-the Romans commanders with-engines
τε καὶ ἑλεπόλεσι ῥᾷον τῶν φρουρίων περιεγένοντο· οἱ
both and siege-engines more-easily the fortresses overcame the
Βούλγαροι καὶ γὰρ θᾶττον τῶν ἐν ἄστεσι φυλακῶν
Bulgarians also for more-quickly from-the in towns guards
ἀπαλλάττονται, εἰ πολεμίους ὁρῷεν καὶ μαχιμωτέροις
are-released if enemies they-should-see and with-more-warlike

συμπλακεῖεν τοῖς πράγμασιν. ἐν οὐ πολλῷ γοῦν τὰ πλείω
they-should-engage the affairs in not much then the more
αὐτῶν ἐχειρώσαντο. ἀλλὰ καὶ ὁ βασιλεὺς τὸν περὶ αὐτὸν
of-them subdued but also the emperor the about him
συναθροίσας στρατὸν περὶ τὰ ἐν Ῥοδόπῃ ἄστη κεχώρηκε,
having-gathered army to the in Rhodope towns went
καὶ εἶλε μὲν Περιστίτζαν τοῖς μηχανήμασι καὶ μετ' αὐτὴν
and took indeed Peristitza with-the engines and after it
τὸν Στενίμαχον καὶ ἐπὶ τούτοις τὸν Κρυτζιμόν, ὀχυρώτατα
— Stenimachos and upon these — Krytzimos strongest
ταῦτα πάντα καὶ εἰς πρόσωπον κείμενα τοῦ τῆς Ῥοδόπης
these all and in front lying of-the — of-Rhodope
ὄρους καὶ τὰ ὀπίσω πάντα φυλάττοντα. ἀφίκετο δὲ
mountain and the(-places) behind all guarding arrived and
καὶ εἰς Τζέπαιναν ἐν ἀκμῇ χειμῶνος, ἡ δὲ τοῦ τόπου
also at Tzepaina in height of-winter the and of-the place
δυσχωρία καὶ τὸ ψυχρὸν τοῦ καιροῦ οὐδὲ μικρόν τι
difficulty-of-ground and the cold of-the season not-even little at-all
εἴασεν ἐν ταύτῃ προσκαρτερῆσαι. ἐπεὶ δὲ τὸ ἔαρ ἐπέλαμψε,
allowed in it to-persist when and the spring shone-forth
προστάγματα πρὸς τὸν Στρατηγόπουλον Ἀλέξιον καὶ
orders to — Strategopoulos Alexios and
τὸν Τορνίκην Κωνσταντῖνον, ὃν μέγαν πριμμικήριον ὁ
— Tornikes Constantine whom great primmikerios the
βασιλεὺς τετίμηκεν Ἰωάννης, ἐξέπεμψεν, ἐν ταῖς Σέρραις
emperor honored John he-sent in — Serres
ὄντας καὶ τὸ στρατόπεδον ἔχοντας, ἵνα τὴν στρατιὰν πᾶσαν
being and the camp having that the army all
συναγαγόντες κατὰ τῆς Τζεπαίνης ἀφίκοιντο. τοῦτο δὴ
having-gathered against — Tzepaina they-should-come this indeed
καὶ ἐποίησαν, κακοὶ δὲ ἐφάνησαν ἐν τούτῳ τῷ ἐπιχειρήματι
also they-did bad and appeared in this the undertaking

στρατηγοί· μήτε γὰρ πολεμίων ἐγκύρσαντες στρατιαῖς μήτε
generals neither for of-enemies having-met armies nor
ἀνδράσιν ἀξίοις τούτοις μαχέσασθαι, κτύπων δὲ καὶ μόνων
men worthy with-these to-fight of-noises but and only
καὶ ψόφων ἀκηκοότες καὶ ἤχων κερατίνων ἀκροασάμενοι,
and of-sounds having-heard and of-blasts horn having-listened-to
ἀκόσμως ἐχρήσαντο τῇ φυγῇ, πᾶσαν ἀποσκευὴν καὶ
disorderly used the flight all baggage and
τοὺς πλείους τῶν ἵππων τοῖς ποιμέσι καὶ συβώταις τῶν
the more of-the horses to-the shepherds and swineherds of-the
Βουλγάρων καταλιπόντες. οὕτω μὲν οὖν ἐκεῖνοι φυγαδίαι
Bulgarians having-left so indeed then they fugitives
γεγονότες τὰς Σέρρας καὶ αὖθις κατέλαβον, ἵππων καὶ
having-become — Serres also again reached of-horses and
ὅπλων γυμνοὶ τυγχάνοντες. ὁ μὲν οὖν βασιλεὺς διὰ
of-arms bare being the indeed then emperor because-of
ταῦτα θυμοῦ μὲν ἐπέπλησto, καὶ προσέταττεν ἐξ ὀργῆς
these-things of-anger indeed was-filled and ordered from wrath
αὐτοὺς ἐκείνους, ὅπως ἂν ἔχοιεν, περὶ τὴν αὐτὴν καὶ
them those-very so-that — they-might-be-able to the same also
αὖθις μάχην χωρῆσαι· οἱ δὲ ἀδυνάτως εἶχον τῆς πράξεως.
again battle to-go they but impossibly were of-the deed
Ἐπεὶ δὲ ταῦτα οὕτω συνέβη, συνεπεπτώκει καί τι 58
when and these-things so happened had-befallen also some(-thing)
τῶν βαρυτέρων καὶ πολλὴν τὴν κατὰ τῶν Ῥωμαίων
of-the heavier and much the against the Romans
βλάβην ἐπαπειλοῦν. ὁ γὰρ τοῦ Μελενικιωτικοῦ προεξάρχων
harm threatening the for of-the Melenikiote leader
στρατεύματος, Δραγωτᾶς τοὔνομα, καὶ φύσει μὲν ὡς
army Dragotas the-name and by-nature indeed as
Βούλγαρος δύσνοιαν τρέφων κατὰ Ῥωμαίων, ἔτι δὲ καὶ
Bulgarian ill-will nourishing against Romans still and also

πλέον φέρων τοῦ φυσικοῦ διὰ τὴν πρὸς τὸν βασιλέα
more bearing than-the natural because-of the toward the emperor
ἀπέχθειαν — ἤλπισε γὰρ ἐξ αὐτοῦ μεγάλων τυχεῖν· οὐδὲ
hatred he-hoped for from him great(-things) to-obtain not-even
γὰρ ἔκρινεν ἄξια τὰ παρὰ τοῦ βασιλέως Ἰωάννου
for judged worthy the(-things) by the emperor John
ἐκείνῳ κεχορηγημένα καὶ ταῦτα πολλὰ γεγενημένα —
to-that(-man) furnished and these many having-become
ἀποστασίαν φανερὰν μεμελέτηκε. καὶ δὴ πάντας τοὺς ἐν
revolt open practiced and indeed all the in
Μελενίκῳ συναγαγὼν στρατιώτας τε καὶ λοιπούς, ἔτι δὲ
Melenikon having-gathered soldiers both and others still and
καὶ ἄλλους παμπόλλους ἐκ τῶν πέριξ χωρῶν, παρεκάθισε
also others very-many from the around lands sat-down-before
τοῦ Μελενίκου τῷ ἄστει καὶ ἐπολιόρκει τοῦτο καὶ ἐφιλονείκει
— of-Melenikon the town and besieged it and strove
πορθεῖν. ἦσαν δὲ ἐν τούτῳ τῷ ἄστει προτεταγμένοι τῶν
to-sack were and in this the town placed-in-command of-the(-ones)
φυλασσόντων ὅ τε Νεστόγγος Θεόδωρος καὶ ὁ Ἄγγελος
guarding — both Nestongos Theodore and — Angelos
Ἰωάννης, καὶ ἀμφότεροι δέξιοι ἄστη φυλάξαι καὶ πολεμίους
John and both skillful towns to-guard and enemies
ἐκτρέψασθαι. ἐστενοχώρει δὲ τοὺς ἔνδον τοῦ ἄστεος οὐδὲν
to-turn-back distressed and the(-ones) within the town nothing
ἄλλο — καὶ γὰρ ηὐμοίρουν τῶν χρειωδῶν — ἀλλ᾽ ἢ ἡ
other also for they-had-plenty of-the necessities but than the
τοῦ ὕδατος ἔνδεια, ἐν ὥρᾳ θέρους τὸ ἀναγκαιότατον τῶν
of-the water lack in season of-summer the most-necessary of-the
ἄλλων κἀν τῇ σπάνει βαρύτατον. οἱ δὲ — καὶ γὰρ
others and-in the scarcity heaviest the(-ones) but also for
οὐ πάντῃ τούτους τὸ ὕδωρ ἐξέλιπε — καρτερῶς τοῖς
not wholly them the water failed mightily with-the

ἐναντίοις ἐμάχοντο καὶ ἀνθίσταντο καὶ ὀϊστοῖς ἔβαλλον
opponents fought and resisted and with-arrows shot
καὶ λίθοις ἐτίτρωσκον καὶ πᾶσιν ἄλλοις ὅπλοις ἐμάχοντο.
and with-stones wounded and with-all other arms fought
Τούτων ἐν ἀκροάσει γενόμενος ὁ βασιλεὺς δυσφόρως τὴν
of-these in hearing having-come the emperor grievously the
ἀκοὴν ἤνεγκε, βουλὴν δὲ βουλευσάμενος τὴν ἀρίστην, ὡς
report bore counsel and having-counseled the best as
εἶχε τάχους ἅπαν ξυναγοχὼς τὸ στρατόπεδον δωδεκαταῖος
he-had of-speed all having-gathered the camp on-the-twelfth-day
τὰς Σέρρας πέφθακεν, ἐν ὀλίγῳ χρόνῳ τοσαύτην διανύσας
— Serres reached in little time so-great having-completed
ὁδὸν καὶ τοσοῦτον ἐπαγόμενος στράτευμα, ταῖς κατὰ
road and so-great bringing army to-the in
συστάδην εἰθισμένον μάχαις, ὅπλοις κατάφρακτον καὶ
close-quarters accustomed battles with-arms armored and
ἵπποις φορταγωγοῖς διοικούμενον καὶ πάσαις ἄλλαις
by-horses pack-carrying managed and with-all other
ἀποσκευαῖς συγκροτούμενον καὶ περιφραγνύμενον. ἐπεὶ δὲ
baggage made-up and fenced-around when and
μέχρι Σερρῶν κατηντήκει, αὐτόθι διανυκτερεύσας, ἅμα
as-far-as Serres he-had-arrived there having-spent-the-night at-once
πρωῒ τὰ στρατεύματα συνταξάμενος καὶ τοὺς πεζαιτέρους
at-dawn the armies having-arranged and the more-foot
καὶ τοξοφόρους ἔμπροσθεν βαίνειν ἐγκελευσάμενος, ἐπείπερ
and bow-bearers in-front to-go having-ordered since
ἐπέπυστο τὴν τοῦ Ῥουπελίου δυσχωρίαν, καθ' ἣν ὁ
he-had-learned the — of-Roupelion difficult-ground in which the
ποταμὸς Στρυμὼν ῥεῖ, δυσὶ συγκλειόμενος ὄρεσιν, ὡς
river Strymon flows by-two shut-in mountains so-that
μόγις ἅμαξαν διὰ ταύτης ἔρχεσθαι, τοῦ ποταμοῦ
hardly wagon through it to-go the river

στενωτάτην ἀπεργαζομένου τὴν δίοδον, — κλεισούρας
narrowest making the passage kleisouras
τοὺς τοιούτους τόπους ὁ πολὺς κατονομάζει λαός —
the such places the many name people
Βουλγαρικῇ φυλάττεσθαι στρατιᾷ ἱππέων μὲν ὀλίγων
by-Bulgarian to-be-guarded army of-horsemen indeed few
πεζῶν δὲ πολλῶν, — οἱ γὰρ Βούλγαροι καὶ πύλας ἐν
of-foot but many the for Bulgarians also gates in
αὐταῖς κατεσκεύασαν μοχλοῖς καὶ κλείθροις ἠσφαλισμένας,
them built with-bars and bolts secured
ὡς ἄμαχα τούτοις ἐξ ἀμφοτέρων τυγχάνειν τῆς τε
so-that unassailable for-them from both to-be of-the both
δυσκολίας τοῦ τόπου καὶ τῆς γεγενημένης παρ᾽ αὐτῶν
difficulty of-the place and of-the made by them
προμηθείας καὶ τῆς λοιπῆς ὀχυρώσεως — ἐπεὶ ταῦτα
forethought and of-the other fortification when these-things
οὕτως ἔχειν ἐμεμαθήκει ὁ βασιλεύς, σπουδῇ περὶ τὸν
so to-be had-learned the emperor with-haste to the
ἐκεῖσε χῶρον ἀφῖκτο, εὗρε δὲ τὰ ἐν αὐτῷ καθάπερ
there region arrived found and the(-things) in it as
ἐπέπυστο. ἀποκόψας οὖν τῆς τῶν πεζαιτέρων στρατιᾶς
he-had-learned having-cut-off then of-the of-the more-foot army
ὅσον ἦν εἰκὸς σύνταγμα, ὑπὲρ κεφαλῆς τῶν Βουλγάρων
as-much-as was fitting detachment over head of-the Bulgarians
βαδίζειν εἰς τὸ ὄρος προστέταχεν, ὡς ἂν ἐξ ὑπερδεξίων
to-go to the mountain ordered so-that — from higher-ground
τοὺς Βουλγάρους βάλλωσιν ἐξ ὑψηλοτέρων τῶν τόπων
the Bulgarians they-might-shoot from higher the places
ἐν τοῖς χθαμαλοῖς ἐκείνους τυγχάνοντας. οἱ δὲ θᾶττον
in the low-lying them being the(-men) and quickly
ἐποίουν τὰ προσταττόμενα· ἦν γὰρ τὸ ὄρος δένδροις
did the(-things) ordered was for the mountain with-trees

μὲν συνηρεφές, βάσιμον δὲ ποσὶ πεζαιτέρων· ἱππεῦσι δὲ
indeed overarched passable but for-feet of-foot-soldiers for-horsemen and
κατευθὺ τῶν πυλῶν τὴν μάχην ποιεῖν ἐκέλευσεν.
straight-at the gates the battle to-make he-ordered
Ἐπεὶ γοῦν κατεῖδον οἱ Βούλγαροι ἄνωθεν μὲν ἐκ τῶν
when then saw the Bulgarians from-above indeed from the
βουνῶν ὀϊστοῖς αὐτοὺς βαλλομένους, σταδαίαν δὲ τὴν
hills with-arrows themselves being-shot standing and the
μάχην κατεναντίον κεκτημένους, καὶ ἐν στενῷ κομιδῇ
battle opposite having and in strait utterly
τὰ κατ᾽ αὐτοὺς καθορῶντες εἰς φυγὴν ἐτράποντο,
the(-affairs) concerning them seeing to flight turned
καὶ τὸ βασιλικὸν αὐτοῖς ἐφείπετο στράτευμα. πολλοὺς οὖν
and the imperial them followed army many then
ἐκεῖσε σπάθης ἔργον πεποίηνται, οἱ δ᾽ ἄλλοι μέχρι καὶ τῶν
there of-sword work made the and others up-to also the
Βουλγαρικῶν στρατευμάτων διασωθέντες ἀπέδρασαν καὶ
Bulgarian armies having-been-saved ran-off and
τούτοις τὰ περὶ τοῦ βασιλέως ἀπήγγειλαν καὶ ὅσα
to-these the(-things) about the emperor reported and as-much-as
δὴ ἐπεπόνθεισαν. οἱ δὲ τῷ ἀθρόῳ διαταραχθέντες τῆς
indeed they-had-suffered the(-ones) and at-the suddenness having-been-confounded of-the
ἀκοῆς, καὶ ὡς αἴφνης αὐτοῖς ἐπεισπέπτωκε τὰ δεινά,
report and as suddenly on-them had-fallen the terrible(-things)
ἕκαστος ὡς εἶχεν ἵππου τοῦ ἐφευρεθέντος αὐτῷ σχεδὸν
each as he-had horse the found by-him almost
ἐπιβάς, φεύγειν ὥρμησαν. ἐπεὶ δὲ καὶ νὺξ ὑπῆρχεν
having-mounted to-flee rushed since and also night was
ἀσέληνος, καθ᾽ ἣν ἡ φυγή, καὶ δυσχερὴς ὁ τόπος καὶ
moonless in which the flight and difficult the place and
τὰ τῶν ὁδῶν δυσδιάγνωστα, ἔπιπτον μὲν ἐξ ἵππων
the(-things) of-the roads hard-to-make-out fell indeed from horses

ἔνιοι, ἕτεροι δὲ αὐτοὺς κατεπάτουν καὶ ἔφθειραν, καὶ ἄλλοι
some others and them trampled and destroyed and others
μὲν τῶν ἐφεστρίδων ἀπεσφενδονοῦντο κατὰ κρημνῶν,
indeed from-the saddle-cloths were-slung down cliffs
ἄλλοι δὲ ἄλλως τέλος δύστηνον ἀπελάμβανον, ὡς ὀλίγους
others and otherwise end wretched received so-that few
ἐξ αὐτῶν διασωθέντας εἰς τὴν Βουλγάρων ἀφῖχθαι. τότε
of them having-been-saved to the of-Bulgarians to-have-arrived then
δὴ καὶ ὁ προϊστάμενος αὐτῶν Δραγωτᾶς, ὁ καὶ
indeed also the leading them Dragotas the(-one) also
προεξάρχων τῆς ἀπιστίας, ἵππων ποσὶν ἅπαν τὸ σῶμα
first-leader of-the faithlessness of-horses by-feet all the body
συντέθλασται καὶ τριταῖος τὴν αὐτοῦ ψυχὴν ἐξεφύσησεν.
was-crushed and on-the-third-day the his soul breathed-out
ὁ μὲν οὖν βασιλεὺς τῆς νυκτὸς ἐκείνης τὸ ἄστυ καταλαβὼν
the indeed then emperor of-the night that the town having-reached
τοῖς ἐκεῖσε φυλάττουσι ξυνωμίλησε, κἀκεῖνοι ἀσπασίως
with-the(-ones) there guarding conversed and-they gladly
τε τὸν αὐτοκράτορα ὑπεδέξαντο καὶ κρότοις ἐπήνουν καὶ
both the autocrat received and with-applause praised and
εὐφήμοις λόγοις ἐκύδαινον καὶ ἀετὸν ταχὺν κατωνόμαζον.
with-auspicious words glorified and eagle swift named

59 Τὰ ἐκεῖσε μὲν οὖν, ὡς ἦν εἰκός, οἰκονομήσας ὁ
the(-things) there indeed then as was fitting having-arranged the
βασιλεύς, καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας τῶν
emperor and the wives and the children of-the(-ones)
ἀπιστησάντων ἐξορίσας τοῦ ἄστεος, πάντα δὲ τὰ αὐτῶν
having-been-faithless having-banished from-the town all and the their
χρήματα δημοσιευθῆναι κελεύσας, ἀπάρας τοῦ Μελενίκου
goods to-be-confiscated having-ordered having-set-out — from-Melenikon
ἐς τὴν Θεσσαλονίκην ἀφίκετο, κἀκεῖθεν τὸν Βαρδάρειον
to — Thessalonica arrived and-thence — Bardarios

διαπεράσας καὶ τὰ Βοδηνὰ παραμείψας ὀλίγον ἐκεῖσε
having-crossed and — Bodena having-passed for-a-little there
τὰς σκηνὰς ἔπηξεν. ἐνόσησε δὲ νόσημα ἑδρικόν· τοῦτο
the tents pitched fell-ill and with-illness of-the-seat this
δὲ καὶ ἐπιδήμιον τοῖς ἐκεῖσε στρατεύμασιν ἐγεγόνει.
and also epidemic among-the there armies had-become
διακαρτερήσας οὖν ἐκεῖσε μικρὸν ὅσον ῥαΐσαι τὴν νόσον,
having-stayed then there a-little as-much-as to-ease the illness
περὶ τὸν Πρίλαπον ὥρμησεν. ἐκεῖσε γοῦν προσηκόντως
toward — Prilapos set-out there then fittingly
συσκευασάμενος καὶ μηχανήματα προσλαβόμενος καὶ
having-prepared and engines having-taken-in-addition and
ἁμάξαις τὰς ἑλεπόλεις συγκομισάμενος ἐς τὸν Βελεσὸν
on-wagons the siege-engines having-brought-together to — Belesos
ἐχώρει πολιορκῆσαι τοῦτον καὶ τῆς τῶν ἐχθρῶν χειρὸς
went to-besiege it and from-the of-the enemies hand
ἐξελεῖν. οἱ δὲ καὶ μόνον τῇ τοῦ βασιλέως ἐφόδῳ
to-take-out the(-men) and also only at-the of-the emperor attack
καταβροντηθέντες καὶ μηδὲ ἀναμείναντες ἀναστῆναι
having-been-thunderstruck and not-even having-waited to-be-set-up
μηχανήματα, εἰς συνθήκας ἐλθόντες ἐφ' ᾧ μηδέν
engines to agreements having-come on condition-that nothing
τι παθεῖν δεινόν, αὐτοῖς δὲ ὅπλοις καὶ πράγμασι
at-all to-suffer terrible with-the-very and with-arms and goods
τοῦ ἄστεος ἐξελθεῖν, τοὺς ὅρκους πρὸς τοῦ βασιλέως
from-the town to-go-out the oaths from the emperor
λαβόντες ἐξῆεσαν τοῦ φρουρίου. ὁ δὲ βασιλεὺς ἐπείπερ
having-taken went-out from-the fortress the but emperor since
αὐτοὺς ἐθεάσατο παμπόλλους μὲν τὸν ἀριθμὸν — εἰς
them he-saw very-many indeed the number to
γὰρ πεντακοσίους ἠρίθμηντο — εὐμεγέθη δὲ κεκτημένους
for five-hundred they-were-counted well-grown and having

τὰ σώματα καὶ ἀγαθοὺς τὰς μορφάς, ἐπὶ τῇ πράξει
the bodies and good the forms at the deed
μεταμεμέληται, εἰ τοσούτους καὶ τοιούτους ἐάσει πρὸς
repented that so-many and such he-will-allow to
τὴν τῶν ἐχθρῶν ἀφικέσθαι καὶ ἐναντίους γενέσθαι
the(-land) of-the enemies to-arrive and opponents to-become
Ῥωμαίοις· ὑπὸ δὲ τῶν ὅρκων ἀναγκασθεὶς ἀπέλυσε
to-Romans by and the oaths having-been-compelled released
σφᾶς αὐτοὺς ἀποδοὺς τὴν ἐλευθερίαν.
them themselves having-given-back the freedom
Ἐκεῖθεν οὖν μετὰ πάσης τῆς στρατιᾶς ὁρμήσας διὰ τῆς
thence then with all the army having-set-out through —
Νευσταπόλεως τὴν πορείαν ἐποιεῖτο. ἄνυδρος δέ ἐστιν ὁ
Neustapolis the march made waterless and is the
τόπος καὶ ἄοικος καὶ πλήθει στρατευμάτων δυσβάδιστος.
place and uninhabited and for-multitude of-armies hard-to-traverse
ἄρτου γοῦν ἐν ἐνδείᾳ ἐν οὐ μετρίαις ἡμέραις διῆγεν ἡ
of-bread then in lack in not moderate days spent-time the
στρατιά, καὶ δυσὶν ἡμέραις οἱ πλείους τῶν ἵππων ὑπῆρξαν
army and for-two days the more of-the horses were
ὕδατος ἄγευστοι. τὸ γοῦν τῆς Στρουμμίτζης παραμείψαντες
of-water untasting the then — of-Stroummitza having-passed
ἄστυ καὶ διὰ τῶν τοῦ Μελενίκου χώρων βαδίσαντες
town and through the — of-Melenikon lands having-marched
εἰς τὰς Σέρρας καὶ αὖθις ἀπήειμεν. ἔνθα καὶ γραφὰς ὁ
to — Serres also again we-went-off where also letters the
αὐτοκράτωρ δεξάμενος ἐκ τῶν τῆς ἀνατολῆς μερῶν πρὸς
autocrat having-received from the of-the east parts by
τοῦ προσφιλοῦς αὐτοῦ πεμφθείσας Μουζάλωνος, ὡς τὰ
the dear his sent Mouzalon that the(-affairs)
τῶν Μουσουλμάνων πρὸς τῶν Ταχαρίων κυμαίνεται,
of-the Muslims by the Tachars are-surging

ἐπέτεινε τὴν ὁδὸν καὶ μακροτέρας τὰς ἡμερησίους ἐποιεῖτο
extended the road and longer the daily made
πορείας. ἐπεὶ δὲ τὸν Ἔβρον ἐπεφθάκει, ὃν καὶ Μαρίτζαν ὁ
marches when and — Hebros he-had-reached which also Maritza the
χυδαῖος κατονομάζει λαός, καὶ μὴ οὕτως ἔχειν τὰ ἐν τῇ ἕῳ
vulgar names people and not so to-be the in the east
μεμαθηκὼς πράγματα, τῆς ταχυτῆτος ἀνιεὶς σχολαιότερον
having-learned affairs from-the speed relaxing more-leisurely
ἐπορεύετο καὶ τοὺς συνήθεις βασιλικοὺς ἐποιεῖτο σταθμούς·
proceeded and the customary imperial made stages
παρεκκλίνας δὲ τῆς πρὸς ἕω κατ᾽ εὐθεῖαν ἐς τὸ
having-turned-aside and from-the(-road) to east by straight to —
Διδυμότειχον ἀφίκετο κἀκεῖθεν εἰς τὴν Ἀδριανοῦ.
Didymoteichon arrived and-thence to the of-Hadrian
Καὶ ἐπεὶ μηδὲν ἐναπολέλειπτο τῶν παρὰ τῶν Βουλγάρων
and since nothing had-been-left of-the by the Bulgarians
κατασχεθέντων φρουρίων καὶ ἄστεων — πάντα γὰρ ὁ
seized fortresses and towns all for the
βασιλεὺς ἐχειρώσατο — πλὴν δυοῖν, ἑνὸς μὲν φρουρίου
emperor subdued except two one indeed fortress
πάνυ σμικροτάτου ἐν τοῖς βουνοῖς κειμένου τῆς Ἀχριδοῦ
very smallest in the hills lying — of-Achridos
καὶ καλουμένου Πάτμου, ὃ καὶ εὐχερῶς πάνυ ὁ
and called Patmos which also easily very —
Φιλανθρωπηνὸς Ἀλέξιος εἶλεν ὁ Δούκας, καταλειφθεὶς
Philanthropenos Alexios took the Doukas left
πρὸς τοῦ βασιλέως εἰς φυλακὴν τῶν ἐν Ἀχριδῷ, καὶ
by the emperor for guard of-the(-places) in Achridos and
ἄστεος ἄλλου Τζεπαίνης ὀνομαζομένου, λίαν τυγχάνοντος
town other Tzepaina named very being
ὀχυροῦ καὶ περὶ τὴν ξυμβολὴν τελοῦντος τῶν δύο
strong and about the junction being of-the two

μεγίστων ὀρῶν, τοῦ τε Αἵμου καὶ τῆς Ῥοδόπης,
greatest mountains — both of-Haimos and — of-Rhodope
καθ' ὧν μέσον ὁ Ἔβρος ῥεῖ ποταμός, ἐν δεινῷ
between which middle — Hebros flows river in terrible(-light)
μὲν ἐποιεῖτο ὁ αὐτοκράτωρ, ὅτι μὴ καὶ αὐτῶν ὡς
indeed held the autocrat that not also these as
τῶν ἑτέρων ἐκράτησεν, ἀλλ' ἔτι τῆς χειρὸς αὐτοῦ
the others he-mastered but still than-the hand his
κρείττω φανέντα ἔξω τυγχάνουσι· μάλιστα δὲ ὑπὲρ
stronger having-appeared outside were especially and about
τῆς Τζεπαίνης ἐδυσφόρει τὰ μέγιστα. ἔσπευδε μὲν
— Tzepaina he-was-distressed the greatest(-degree) hastened indeed
οὖν καὶ κατὰ ταύτης στρατεῦσαι καὶ ὡς εἶχεν ἰσχύος
then also against it to-campaign and as he-had of-strength
ἀποπειράσασθαι. ἡ μὲν οὖν ὥρα τοῦ θέρους ἤδη παρῄει,
to-make-trial the indeed then season of-the summer already passed
καὶ τὸ μετόπωρον ἐγγὺς ἦν καὶ τοῦτο παραδραμεῖν. ὁ δὲ
and the autumn near was also this to-run-past he but
μηδέν τι τοῦ καιροῦ φροντίσας μηδὲ τὸ τοῦ χειμῶνος
nothing at-all of-the season having-taken-thought nor the of-the winter
προσκοπήσας δριμύ — ἑνὸς γὰρ καὶ μόνου τοῦ τὸ
having-foreseen harshness of-one for and only the the
οἰκεῖον ἀποπλῆσαι βούλημα ἐστοχάζετο — τὴν στρατιὰν
own to-fulfill wish he-aimed the army
πᾶσαν ἐκ τῆς Ἀδριανοῦ κινήσας ἁμάξας τε παμπόλλας
all from the of-Hadrian having-moved wagons both very-many
συλλεγῆναι προστάξας ἀπανταχόθεν τῆς τῶν Μακεδόνων
to-be-gathered having-ordered from-everywhere of-the of-the Macedonians
χώρας, τὰς μὲν ἐπὶ τῷ τὰ μηχανήματα καὶ τὰς
land the(-ones) indeed for the the engines and the
ἑλεπόλεις φέρειν, τὰς δὲ ἐπὶ τῷ διακομίζειν τὰ ζωαρκῆ
siege-engines to-carry the(-ones) and for the to-convey the provisions

τοῦ στρατεύματος, καὶ συναθροισθῆναι κελεύσας πληθὺν
of-the army and to-be-gathered having-ordered multitude
ἀνδρῶν πεζῶν τοξοτῶν καὶ κορυνοφόρων οὐκ εὐαρίθμητον,
of-men foot archers and club-bearers not easily-counted
ἐπεὶ πάντα καλῶς αὐτῷ καὶ ὡς ἔδοξε κατηρτίσατο, τῆς
when all well for-him and as seemed was-arranged from-the
Ἀδριανοῦ ἀπάρας κατὰ τῆς Τζεπαίνης ἐχώρει. τέσσαρας
of-Hadrian having-set-out against — Tzepaina went four
δὲ σταθμοὺς παρήμειψεν ὁ στρατός, καὶ κατὰ τὸν τόπον,
and stages passed the army and at the place
ὃν Μακρολιβάδα κατονομάζουσιν, ἐτητύμως πρὸς τὸ
which Makrolibada they-name truly to the
σχῆμα τὴν κλῆσιν οἱ πρώτως ἰδόντες θέμενοι, δεινὸς
shape the name the(-ones) first having-seen having-given terrible
συμπίπτει σφίσι χειμών. ἐξ ἑσπέρας γοῦν ἀρξάμενος, δι᾽
befalls them winter from evening then having-begun through
ὅλης τῆς νυκτὸς τὴν σφοδρότητα τοῦ ψύχους καὶ τοῦ
whole the night the violence of-the cold and of-the
ἀνέμου προσεπιτείνας τὸ βίαιον, πολλῇ τε χιόνι τῆς γῆς
wind having-intensified the force with-much both snow of-the earth
ἐπηλυγάσας τὴν ἐπιφάνειαν, ἕωθεν τῷ βασιλεῖ πολλὴν
having-covered the surface at-dawn to-the emperor much
προυξένησε τὴν δυσχέρειαν. ὅ τε γὰρ τόπος ἄοικος ἦν
caused the difficulty the both for place uninhabited was
καὶ ἐγγύτερον ἐτύγχανον οἱ πολέμιοι, καὶ ἡ προσδοκωμένη
and nearer were the enemies and the expected
σπάνις τῶν ἀναγκαίων οὐχ ἧττον τὴν ψυχὴν ἐπίεζε· τοῦτο
scarcity of-the necessities not less the soul pressed this
γὰρ καὶ μᾶλλον δεινότερον καθέστηκεν ἐν στρατεύμασιν.
for also rather more-terrible stands in armies

ἐς τοσαύτην γοῦν τὴν δυσφορίαν συνελαθεὶς τοὺς ἡγεμόνας
into so-great then the distress having-been-driven the commanders
συνηθροίκει τῶν στρατευμάτων, οὐ τῶν Ῥωμαϊκῶν μόνων
gathered of-the armies not of-the Roman only
ἀλλ' ἤδη καὶ τῶν ἐξ ἔθνους Λατίνων τε καὶ Σκυθῶν, καὶ
but already also of-the from nation Latins both and Scythians and
τούτους τί δεῖ ποιεῖν ἠρωτήκει. πάντες γοῦν σχεδὸν
them what it-is-necessary to-do asked all then almost
ἐβουλεύσαντο ἐς τὴν Ἀδριανοῦ τὴν ἐπιστροφὴν ποιήσασθαι.
advised to the of-Hadrian the return to-make
ὁ δὲ τὴν μὲν βουλὴν αὐτῶν οὐκ ἀπέπεμψεν, ἀλλὰ πρὸς
he but the indeed counsel their not dismissed but to
αὐτοὺς εἰρήκει ὡς 'ὑμεῖς μὲν ὅπερ κρεῖττον καὶ συμφέρον
them said that you indeed what better and advantageous
ἔδοξε καλῶς ἐβουλεύσασθε· εἰ δὲ καὶ αὐτὸς ἕτερόν τι
seemed well counseled if and also I-myself other something
σὺν θεῷ νοήσαιμι, οὐκ ἂν δέξησθε τοῦτο ὡς ἀπὸ δεσπότου
with God should-think not — receive this as from master
νουνεχοῦς εἰρημένον καὶ ὑμῶν ὡς δέον προνοουμένου;'
sensible said and for-you as needful taking-forethought
ξυνέφησαν ἅπαντες ὡς 'ὅπερ ἂν τῷ σῷ δόξειε κράτει,
agreed all that whatever — to-the your should-seem might
στερκτὸν αὐτὸ καὶ ἀσπαστὸν λογισαίμεθα.' τούτους μὲν
acceptable it and welcome we-would-reckon these indeed
οὖν πάντας ἀπέλυσεν ὁ βασιλεὺς εἰς τὰς σφετέρας
then all dismissed the emperor to the their
ἐπιέναι σκηνὰς ἐφ' ᾧ καὶ τροφῇ διὰ τὸν χειμῶνα
to-go tents for which also food because-of the winter
χρήσασθαι, αὐτὸς δὲ εἰς τὸν αὐτοῦ κοιτῶνα εἰσιὼν μετὰ
to-use he and into the his bedchamber entering with
τῶν περὶ αὐτὸν ἐβουλεύετο τί μᾶλλον χρὴ ποιεῖν.
the(-ones) about him deliberated what rather it-is-necessary to-do

τινὲς μὲν τὴν τῶν ἔξωθεν βουλευσαμένων βουλὴν
some indeed the of-the(-ones) outside having-counseled counsel
εἰς ἔργον ἐβουλεύοντο θεῖναι, ἄλλοι δέ, οἷς καὶ τὸ
into deed advised to-put others and to-whom also the
κρεῖττον διανοηθῆναι τῷ βασιλεῖ διακέκριται, τοὐναντίον
better to-think by-the emperor has-been-judged the-opposite
εἰρήκασιν. ἔφησαν καὶ γὰρ ‘ὅση μὲν ὁδός ἐστιν ἡμῖν
said said also for as-much-as indeed road is for-us
ὄπισθεν εἰς τὴν Ἀδριανοῦ, τοσαύτη καὶ ἔμπροσθεν εἰς
behind to the of-Hadrian so-much also in-front to
τὸ τοῦ Στενιμάχου ἄστυ καθέστηκε· καὶ ὥσπερ ἐκεῖ
the — of-Stenimachos town stands and as there
τῶν χρειωδῶν εὐμοιρῆσαι ἔχομεν, οὕτω δὴ καὶ εἰς
of-the necessities to-have-plenty we-are-able so indeed also at
τὸν Στενίμαχον. οὕτω γοῦν πράξαντες οὐ δόξαιμεν τοῖς
— Stenimachos thus then having-done not we-would-seem to-the
πολεμίοις οὔτε δειλίᾳ τῇ πρὸς αὐτοὺς οὔτε μὴν τῇ τοῦ
enemies neither by-cowardice the toward them nor indeed by-the of-the
χειμῶνος δυσχερείᾳ τὴν ὑποστροφὴν ποιήσασθαι.’ ἀρεστὸν
winter difficulty the return to-have-made pleasing
γοῦν ἔδοξε τοῦτο τῷ βασιλεῖ, καὶ ἐπεὶ τῆς δριμύτητος
then seemed this to-the emperor and since of-the harshness
καὶ ὁ χειμὼν ἔληγε καὶ ἡ τῆς χιόνος ἔστη φορά,
also the winter ceased and the of-the snow stood onrush
τὴν ἐπιοῦσαν τὸ ἀνακλητικὸν ἠχῆσαι προσέταξεν. ἐκεῖθεν
the following(-day) the recall to-sound ordered thence
οὖν τὰς συντάξεις τῶν στρατευμάτων λαβὼν ἀπῄει ἐς
then the formations of-the armies having-taken went-off to
τὸν Στενίμαχον. κἀντεῦθεν οὖν τὸ σύμπαν ἐνσιτίσασθαι
— Stenimachos and-hence then the whole to-provision
κελεύσας στράτευμα κατευθὺ τῆς Τζεπαίνης ἐχώρει.
having-ordered army straight-for — Tzepaina went

Κατηντήκει γοῦν ἐς πόλιν ἐπικεκλημένην Βατκούνιον,
had-arrived then at town called Batkounion
ἱκανὰς ἡμέρας μεγίστῃ ἐξαρκέσαι δυναμένην εἰς ζωάρκειαν
sufficient days for-very-great to-suffice able for sustenance
στρατιᾷ. ἐκεῖθεν οὖν ἀπεστάλκει τὸν θεῖον αὐτοῦ
army thence then had-sent the uncle his
τὸν Λάσκαριν Μανουήλ, μοναχὸν ὄντα καὶ Μάξιμον
— Laskaris Manuel monk being and Maximos
ὀνομαζόμενον, καὶ τὸν τοῦ ἀλλαγίου αὐτοῦ ἄρχοντα
named and the of-the allagion his commander
τὸν Μαργαρίτην Κωνσταντῖνον, κατοπτεῦσαι τὸν τόπον
— Margarites Constantine to-survey the place
καὶ εἰ εὐχερεστέραν τὴν εἰς αὐτὸν πορείαν σχοίη τὸ
and if easier the to it march might-have the
στράτευμα. οἱ δὲ ἀπιόντες καὶ τὰ περὶ τοῦ τόπου
army the(-men) and going-off and the(-things) about the place
κατασκοπήσαντες εὐχερῆ τὴν ἄνοδον τυγχάνειν τῷ βασιλεῖ
having-surveyed easy the ascent to-be to-the emperor
κατήγγελλον, καὶ μάλιστα ὁ Μαργαρίτης Κωνσταντῖνος,
reported and especially — Margarites Constantine
καίτοι γε πολλῶν τῶν εἰδότων ἀντιλεγόντων. τοῖς
although at-least many of-the(-ones) knowing contradicting by-the
γοῦν τούτων λόγοις πεισθεὶς ὁ βασιλεὺς μετὰ πάσης
then their words having-been-persuaded the emperor with all
τῆς στρατιᾶς ἀνῄει. καὶ ἦν μὲν πάντῃ ἀνάντης ὁ χῶρος
the army went-up and was indeed wholly uphill the place
τὴν ἄνοδον, καὶ παγετὸς τὴν ὁδὸν πᾶσαν παχύτερός τε
the ascent and frost the road all thicker both
καὶ λεῖος βαδίσαι δυσχερεστέραν ἐποίει, συνηρεφῆ τε καὶ
and slippery to-walk more-difficult made overarching both and
λάσια δένδρα περὶ τὴν ἀκρώρειαν ἦν. ἡ μὲν οὖν στρατιὰ
shaggy trees about the summit were the indeed then army

τὴν νύκτα πᾶσαν ἐκείνην πυρκαϊὰς ἀνάψαντες ἐθερμαίνοντο·
the night all that fires having-lit warmed-themselves
τῶν γὰρ πλειόνων οἱ ὑπηρέται μετὰ τῶν σκηνῶν αὐτῶν
of-the for most the servants with the tents their
οὐκ ἠδυνήθησαν τοὺς σφῶν κυρίους εὑρεῖν. ἔκλαιον δὲ
not could the their masters to-find wept and
μικροῦ δεῖν κλαυθμὸν ἄπαυστον, εἰ καὶ ἄλυπον· ὁ γὰρ ἐκ
of-little to-lack weeping unceasing if even painless the for from
τῶν πυρκαϊῶν καπνὸς ὑπὸ τῆς τῶν δένδρων πυκνότητος
the fires smoke by the of-the trees thickness
συνεχόμενος καὶ διέξοδον εἰς ἐλεύθερον ἀέρα μὴ εὑρίσκειν
held-in and outlet to free air not to-find
δυνάμενος, κάτω ὑπενόστει καὶ τοὺς ὀφθαλμοὺς εἰς
being-able down sank and the eyes to
ἄκρον ἔδακνε καὶ τῶν ὀφθαλμῶν ἐκπιέζειν κατηνάγκαζε
the-utmost bit and from-the eyes to-squeeze-out compelled
δάκρυον. τοῦτο καὶ ὁ βασιλεὺς ἐπεπόνθει. ὡς δὲ ἡ νύξ
tear this also the emperor had-suffered as and the night
παρῄει καὶ ἡμέρα ἐπέλαμψεν, ἀνεπιχείρητον εἰς πολιορκίαν
passed and day shone-forth unassailable for siege
εἶναι τὸ ἄστυ γνωρίσας, κατιέναι προσετετάχει ἐς τὸ
to-be the town having-recognized to-go-down had-ordered to the
πεδίον τὴν στρατιάν. καὶ οἱ μὲν ἀπῄεσαν, ὁ δὲ
plain the army and the(-ones) indeed went-off the(-other) and
φύλαξ ὄπισθεν μετὰ μετρίων ἐναπελείφθη στρατιωτῶν καὶ
as-guard behind with moderate was-left soldiers and
τούτων τῶν περὶ αὐτόν τε καὶ νεωτέρων. κατόπισθεν
these of-the(-ones) about him both and younger behind
δὲ καὶ αὐτὸς κατῄει πεζὸς ὡς καὶ οἱ λοιποί· οὐδὲ γὰρ
and also himself went-down on-foot as also the others not-even for
ἦν δυνατὸν ἱππότην βαδίσαι περὶ τὸ κάταντες τοῦ βουνοῦ.
was possible as-horseman to-go about the downslope of-the hill

60 Ἐκεῖσε γοῦν ἡμέρας διανύσας δύο καὶ λείαν τὴν κώμην
there then days having-spent two and booty the village
πεποιηκὼς τὸ Βατκούνιον, ἐς τὴν Ἀδριανοῦ καὶ αὖθις
having-made — Batkounion to the of-Hadrian also again
ὑπέστρεψε κἀκεῖθεν εἰς τὸ Διδυμότειχον. αὐτόθι γοῦν εἰς
returned and-thence to — Didymoteichon there then as
ἡγεμόνας τάξας τόν τε Λάσκαριν Μανουήλ, ὃν
commanders having-appointed — both Laskaris Manuel whom
καὶ πρωτοσεβαστὸν κατωνόμασεν, ἀνθρώπιον ἀφελέστατον
also protosebastos he-named little-man most-simple
καὶ κακῶς εἰδὸς στρατηγεῖν, καὶ τὸν Μαργαρίτην
and badly knowing to-be-general and — Margarites
Κωνσταντῖνον, ὃν προφθάσας ὁ λόγος ἐδήλωσεν, ἄνδρα
Constantine whom anticipating the account showed man
ἀγροῖκον καὶ ἐξ ἀγροίκων γεγενημένον, μάζῃ καὶ
rustic and from rustics born on-barley-cake and
πιτύροις ἀνατεθραμμένον καὶ λαρυγγίζειν μόνον εἰδότα
bran reared and to-gorge only knowing
— ἐκ Νεοκάστρων δὲ οὗτος ὥρμητο, καὶ ἐτέλει τὰ
from Neokastra and this(-man) set-out and was-ranked the
πρῶτα ἐν τῇ τοῦ θέματος τουτουὶ στρατιᾷ, εἶτα καὶ
first(-places) in the of-the theme this army then also
τζαούσιος γέγονε. δόξαν δὲ παρασχὼν τῷ βασιλεῖ Ἰωάννῃ
tzaousios became opinion and having-given to-the emperor John
ὡς ἐντρεχής ἐστι καὶ ὑπηρετεῖν ἱκανὸς ἐν τοῖς ἀνακτόροις,
that adroit he-is and to-serve capable in the palace
ἐκεῖθεν ἐκβαλὼν τζαούσιον τῆς αὐτοῦ πεποίηκε τάξεως,
thence having-cast-out tzaousios of-the his made rank
εἶτα αὐτῷ καὶ τὸ μέγας προσέθετο. ὁ δὲ βασιλεὺς
then to-him also the great added the and emperor
Θεόδωρος ἄρχοντα τῆς αὐτοῦ κατωνόμακε τάξεως, οὔπω
Theodore commander of-the his named rank not-yet

μέχρις αὐτοῦ τὸ τοιοῦτον ἔν τινι γεγονός, ὁ δὲ καὶ τὸ
up-to him the such(-thing) in anyone having-happened he and also the
μέγας προσεπέγραφε τῷ ὀνόματι — τούτους εἰς φυλακὴν
great added to-the name these for guard
τῆς χώρας εἴασε καὶ ἑτέρους ἡγεμόνας οὐκ ὀλίγους.
of-the land he-let(-stay) and other commanders not few
καταλελοίπει δὲ μετ᾽ αὐτῶν καὶ ἀξιόλογον στράτευμα,
had-left and with them also considerable army
προσετετάχει δὲ αὐτοῖς μηδ᾽ ὅλως εἰς μάχην ἐγκαταστῆναι
had-ordered and them not at-all into battle to-engage
τοῖς πολεμίοις, εἴπερ κατὰ τούτων ὁρμήσαιεν, Σκύθας
with-the enemies if-indeed against them they-should-set-out Scythians
προσλαβόντες εἰς συμμαχίαν· τοῦτο γὰρ ἡ φήμη προύλεγε·
having-taken-in-addition for alliance this for the report foretold
καὶ εἰς σκύλευσιν δὲ εἰ κινηθεῖεν τῆς χώρας, αὐτοὺς
and for despoiling and if they-should-move of-the land them
ἀτρεμεῖν, ἔκ τε τοῦ Διδυμοτείχου τὴν ἀσφάλειαν ἔχοντας
to-keep-still from both — Didymoteichon the safety having
— ἐχυρὸν γὰρ τὸ ἄστυ — καὶ ἐκ τοῦ ποταμοῦ Ἔβρου —
strong for the town and from the river Hebros
μέσον γὰρ αὐτῶν στρατοπεδεύειν τούτους ἐκέλευσεν — εἰ
between for them to-encamp these he-ordered if
μή που ὀλίγη τις κατὰ τῆς χώρας ἐπεισφρήσειε στρατιά·
not somewhere small some against the land should-burst-in army
κατὰ ταύτης γὰρ ποιήσασθαι θαρρούντως τὴν ἔφοδον.
against this for to-make boldly the attack
Οὑτωσὶ γοῦν ταῦτα πάντα καταρτίσας ὁ βασιλεὺς
thus then these-things all having-arranged the emperor
τὸν Ἑλλήσποντον διαπεραιωθεὶς περὶ τὴν Λάμψακον τὴν
— Hellespont having-crossed about — Lampsakos the
σκηνὴν ἔπηξε, κἀκεῖσε τοὺς αὐτοῦ ὀφφικίοις τετιμήκει
tent pitched and-there the his(-men) with-offices honored

καὶ ἀξιώμασι. καὶ τὸν μὲν Μουζάλωνα Γεώργιον τὸν
and with-dignities and — indeed Mouzalon George the(-one)
ὑπὲρ πάντας ἄλλους τούτῳ φιλούμενον, ὄντα μέγαν
above all others by-him loved being great
δομέστικον, πρωτοσεβαστόν τε καὶ πρωτοβεστιάριον καὶ
domestic protosebastos both and protovestiarios and
μέγαν στρατοπεδάρχην τετίμηκε, τὸν δὲ αὐτοῦ ἀδελφὸν
great stratopedarches honored the and his brother
Ἀνδρόνικον, πρωτοβεστιαρίτην ὄντα, μέγαν δομέστικον
Andronikos protovestiarites being great domestic
κατωνόμασε, τὸν δὲ Ἄγγελον Ἰωάννην, μέγαν πριμμικήριον
named — and Angelos John great primmikerios
τελοῦντα, τετίμηκε πρωτοστράτορα, ἀνδράρια μηδενὸς ἢ
being honored protostrator little-men of-nothing or
τριῶν ὀβολῶν ἄξια, παιδιαῖς ἀνατεθραμμένα καὶ κυμβάλων
of-three obols worthy in-games reared and of-cymbals
μέλεσί τε καὶ ᾄσμασι, πρὸς οὓς τὸ Ὁμηρικὸν εὐστόχως
in-tunes both and in-songs at whom the Homeric(-line) aptly
ἂν ἀπετόξευσε· ‘ψεῦσταί τ’ ὀρχησταί τε χοροτυπίῃσιν
— would-have-shot liars both dancers both in-choral-dancing
ἄριστοι,’ πρωτοβεστιαρίτην δὲ τὸν Καρυανίτην πεποίηκε.
best protovestiarites and — Karyanites made
ταύταις ταῖς παιδιαῖς συμπέπλεγμαι καὶ αὐτός, ἄκων νὴ
in-these the games was-entangled also myself unwilling by
τὴν Θέμιν καὶ ὡς οὐκ ἐχρῆν βιασθείς, καὶ συνεφάνην
— Themis and as not it-was-right having-been-forced and appeared-with
τοῖς παίζουσι δυστυχέστερον παίγνιον. ἠλλοίωσε γὰρ
the(-ones) playing more-unfortunate plaything changed for
ὁ κρατῶν κἀμοὶ τοὔνομα, καὶ οὐκ εἴασεν ἀσυνάπτως
the ruling(-one) for-me-too the-name and not allowed unconnectedly
Ἀκροπολίτην κατονομάζεσθαι. ἀλλὰ ταῦτα μὲν παρῆλθε,
Akropolites to-be-named but these-things indeed passed

διεξήει δὲ τὰ περὶ τούτων ὁ τῆς ἱστορίας λόγος,
went-through and the(-things) about these the of-the history account
ἵνα τὰ μετὰ ταῦτα σαφέστερον ἀπαγγείλῃ. ἐν τῇ
so-that the(-things) after these-things more-clearly it-may-report in —
Λαμψάκῳ γοῦν μικρὸν διὰ ταῦτα προσκαρτερήσας
Lampsakos then a-little because-of these-things having-stayed
ὁ αὐτοκράτωρ, καὶ τὰς τοῦ Χριστοῦ πανηγύρεις τῆς
the autocrat and the — of-Christ festivals of-the
τε γέννας καὶ τῶν φώτων ἀποπληρώσας, διὰ μετρίων
both nativity and of-the lights having-fulfilled through moderate
πάνυ τῶν ἡμερῶν ἐπεφθάκει τὸ Νύμφαιον.
very the days had-reached — Nymphaion

XI · AKROPOLITES BEATEN

Theodore leads a great army west, and at Didymoteichon the Cumans rout his commanders. Uros brokers peace with Bulgaria and the surrender of Tzepaina. Doubting the peace, Theodore questions Akropolites, flies into a rage, and has him beaten; he refuses for weeks to yield. Michael Palaiologos flees to the Turks and fights for the sultan against the Tatars. Theodore leaves Akropolites as praetor in the west.

Ἐκεῖσε γοῦν παραχειμάσας, ἐπεὶ τὸ ἔαρ ἐπέλαμψε, 61
there then having-wintered when the spring shone-forth
πολλὴν συλλεξάμενος στρατιάν — οὐ γὰρ μόνους τοὺς
much having-gathered army not for only the(-ones)
τεταγμένους ὁπηδεῖν προσέταττεν, ἀλλὰ καὶ τοὺς μηδ᾽
appointed to-follow he-ordered but also the(-ones) not
ὅλως ἐν τάξει ποτὲ τελοῦντας τῆς στρατιᾶς· αὐτίκα
at-all in rank ever being of-the army for-instance
γὰρ τοὺς ἐξυπηρετοῦντας τοῖς βασιλεῦσιν ἐν θήραις
for the(-ones) serving the emperors in hunts

ταῖς τε τῶν θηρῶν ἄγραις, ἐλάφων τε καὶ χοίρων,
the both of-the beasts in-chases of-deer both and of-boars
καὶ τοὺς δι' ἱεράκων θηρεύοντας, πάντας ἁπαξαπλῶς
and the(-ones) by hawks hunting all altogether
στρατιωτικοῖς συντέταχε τάγμασι. καὶ ἦν τὸ συνηγμένον
to-military assigned units and was the gathered
πλῆθος πολύ, καὶ ἡ τοῦ κρατοῦντος δὲ ἀρχὴ ἠνάγκαζε
multitude great and the of-the ruling(-one) and rule compelled
τοὺς πλείους τῶν εἰωθότων φέρειν τι περιττότερον.
the more than-the customary to-bear something more
οὕτω γοῦν πᾶσαν συναγηοχήκει τὴν στρατιάν. ὡς δὲ καὶ
thus then all had-gathered the army as and also
τὸν περσάρχην μὴ πράγματα ἔχειν παρὰ τῶν Ταχαρίων
the Persian-ruler not troubles to-have from the Tachars
πρεσβείαν ἐξαποστείλας ἐμεμαθήκει, κατευθὺ πρὸς τὴν
embassy having-sent-out he-had-learned straight to the
δυσμὴν ἐκ τῆς ἕω χωρεῖ· καλῶς γὰρ ἔχειν τὸν περσάρχην
west from the east goes well for to-be the Persian-ruler
τῶν ἐκείνου πραγμάτων οἰόμενος καὶ ἀσφαλῶς μένειν,
in-the his affairs thinking and safely to-remain
οὐδ' ὅλως περὶ τῇ ἑαυτοῦ κατὰ τὴν ἕω ἐδεδίει ἀρχῇ. τὴν
not at-all about the his-own in the east he-feared rule the
πᾶσαν γοῦν συνηθροικὼς στρατιὰν μείζονα τῶν ποτὲ
all then having-gathered army greater than-the(-ones) ever
παρά τε πατρὸς αὐτοῦ βασιλέως καὶ τούτου συνειλεγμένων
by both father his emperor and him gathered
εἰς τὸ διαπεραιωθῆναι τὸν Ἑλλήσποντον, ἀφίκετο εἰς τὴν
for the to-cross — Hellespont arrived at —
Λάμψακον, ἐλπίσας καὶ τοὺς κατὰ τὸ Διδυμότειχον
Lampsakos having-hoped also the(-ones) at — Didymoteichon
καταλελειμμένους σώους τε εὑρεῖν κατὰ τὰ
left safe both to-find according-to the(-things)

προστεταγμένα τούτοις καὶ οὐ σμικρὰν προσθήκην τῇ
ordered for-them and not small addition to-the
ἀμφ᾽ αὐτὸν στρατιᾷ ἐμποιήσασθαι. τοὺς δὲ κακοβουλία
about him army to-make the(-ones) but ill-counsel
καὶ τὸ παρακοῦσαι τῆς βασιλικῆς κελεύσεως ἔσφηλεν.
and the to-disobey the imperial order tripped
Ἐπεὶ γὰρ ὁ τῶν Βουλγάρων ἄρχων μακρότερον διάγειν
when for the of-the Bulgarians ruler farther to-be-staying
τὸν βασιλέα ἐγίνωσκε, Σκυθικὸν στράτευμα εἰς σφετέραν
the emperor knew Scythian army for their-own
συμμαχίαν προσκαλεσάμενος κατὰ τῶν τῆς Μακεδονίας
alliance having-summoned against the — of-Macedonia
χώρων ἐκπέπομφε κέρδους τε χάριν καὶ τῆς πρὸς
lands sent-out of-gain both for-the-sake and of-the toward
Ῥωμαίους τινὸς ἐκφοβήσεως. ἠρίθμηντο δὲ περί που
Romans some frightening they-were-counted and about somewhere
τὰς τέσσαρας χιλιάδας, ὡς οἱ εἰδότες ἔφασκον
the four thousands as the(-ones) knowing said
Σκύθαι· τινὲς μὲν οὖν καὶ πλείους, οἱ δὲ καὶ
Scythians some indeed then also more the(-others) and also
ἐλάττους ἔλεγον. οἱ μὲν οὖν Σκύθαι τὴν Ἀδριανοῦ
fewer said the indeed then Scythians the of-Hadrian
παραμείψαντες τὰ περὶ τὸν ποταμὸν οὗ Ῥηγίνα
having-passed the(-places) about the river whose Regina
τοὔνομα λείαν ἐποιοῦντο καὶ τὰ πέριξ τοῦ Διδυμοτείχου
the-name booty made and the around — Didymoteichon
χωρία ἐσκύλευον. οἱ δὲ προλελεγμένοι στρατάρχαι τοῦ
places despoiled the and aforesaid army-commanders of-the
εἰς τὸ Διδυμότειχον καταλελειμμένου στρατεύματος, τῶν
at — Didymoteichon left army the
βασιλικῶν ἐπιλελησμένοι προστάξεων, καθοπλισθέντες κατὰ
imperial having-forgotten orders having-armed against

τῶν Σκυθῶν ἐφώρμησαν. οἱ μὲν οὖν Ῥωμαῖοι, οἷα ἔθος
the Scythians set-out the indeed then Romans as custom
αὐτοῖς, δυσαχθέσιν ὅπλοις κατάφρακτοι ἦσαν, οἱ δὲ Σκύθαι
for-them with-heavy arms armored were the but Scythians
κοῦφοι ὁπλῖται καὶ τόξοις χρώμενοι. μακρόθεν οὖν οὗτοι
light armed-men and with-bows using from-afar then these
τοῖς βέλεσι τοὺς Ῥωμαίους ἔβαλλον καὶ τοὺς ἵππους
with-the missiles the Romans shot and the horses
ἐτίτρωσκον καὶ πεζοὺς τοὺς ἱππότας ῥᾳδίως ἐποίουν καὶ
wounded and on-foot the horsemen easily made and
τέλος τρέπουσιν. ὁ μὲν οὖν Λάσκαρις Μανουὴλ ταχύτατον
finally rout — indeed then Laskaris Manuel swiftest
ἔχων τὸν ἵππον, ὃν καὶ Χρυσοπόδην ἐκάλεσε, φυγὰς
having the horse which also Chrysopodes he-called fugitive
εἰς τὴν Ἀδριανοῦ ᾤχετο· ὁ δὲ Μαργαρίτης Κωνσταντῖνος
to the of-Hadrian went — but Margarites Constantine
ἑάλω καὶ ἄλλοι πολλοὶ μετ᾽ αὐτοῦ τῶν εἰς κεφαλὰς
was-captured and others many with him of-the(-ones) as heads
τεταγμένων τῆς στρατιᾶς, οὓς καὶ ἀπημπόλησαν τοῖς
appointed of-the army whom also sold to-the
Βουλγάροις οἱ Σκύθαι. ὁ μὲν οὖν βασιλεὺς τὰ περὶ
Bulgarians the Scythians the indeed then emperor the(-things) about
τούτου μαθὼν ἠνιάθη, ἔσπευδε δὲ διὰ τάχους περὶ
this having-learned was-grieved hastened and with speed to
τὸν τοῦ Βουλγαροφύγου χῶρον ἐλθεῖν, καὶ ἐπιτείνας
the — of-Boulgarophygon region to-come and having-extended
τὸν δρόμον ὀξυτέραν ἐποίει τὴν κίνησιν. ἐπεὶ δὲ καὶ
the course sharper made the movement when and also
οἱ πευστῆρες ἔφασκον ἐγγὺς τυγχάνειν τὸ Σκυθικὸν
the scouts said near to-be the Scythian
στράτευμα, ἔνθα ἂν αὐτοὺς περιπολεῖν ἔλεγον, ἐκεῖσε
army where — them to-be-roaming they-said there

καὶ πᾶσαν ἐκίνει τὴν στρατιάν. καὶ ἡμέρας μὲν μιᾶς
also all he-moved the army and of-day indeed one
πλείους τῶν τετρακοσίων διεξήει σταδίων σταθμούς,
more than-the four-hundred went-through stades stages
οὐκ ἐνέκυρσε δὲ τούτοις· ἐμεμαθήκεσαν γὰρ καὶ οὗτοι τὴν
not met and them had-learned for also these the
ταχεῖαν τοῦ βασιλέως ἔφοδον, καὶ ὡς εἶχον ποδῶν ἔφυγον,
swift of-the emperor attack and as they-had of-feet fled
καὶ πλείους δὲ αὐτῶν καὶ περιφανέστεροι τοῦ ἔθνους
and more too of-them and more-conspicuous of-the nation
περί που τὰ μέρη τῆς Βιζύης ξίφους ἔργον ἐγένοντο.
about somewhere the parts — of-Bizye of-sword work became
ἀποτυχὼν γοῦν τῆς ἐγχειρήσεως ταύτης ὁ βασιλεὺς περὶ
having-failed then of-the undertaking this the emperor about
τὸν ποταμὸν ὃς Ῥηγίνα καλεῖται τὴν σκηνὴν ἔπηξε, καὶ
the river which Rhegina is-called the tent pitched and
πᾶσαν ἐκεῖσε συνῆξε τὴν στρατιὰν εἰς πλῆθος οὖσαν πολύ.
all there gathered the army in multitude being great
Ὁ μὲν οὖν τῶν Βουλγάρων ἄρχων, ἐπειδὴ μὴ 62
the indeed then of-the Bulgarians ruler since not
διαπράξασθαί τι κατὰ Ῥωμαίων ἐδεδύνητο, τοῦ
to-accomplish anything against Romans had-been-able the
βασιλέως ἐπιδεδημηκότος μετὰ τοσούτων στρατευμάτων
emperor having-come with so-many armies
ἐν τῇ δυσμῇ καὶ πεπλησιακότος τῇ ἑαυτοῦ, εἰς σπονδὰς
in the west and having-come-near to-the his-own to treaties
ἐτράπετο, καὶ τὸν πενθερὸν αὐτοῦ τὸν Ῥῶσον Οὖρον, τοῦ
turned and the father-in-law his the Russian Uros of-the
ῥηγὸς Οὐγγρίας ἐπὶ θυγατρὶ τελοῦντα γαμβρόν, μεσιτεῦσαι
king of-Hungary by daughter being son-in-law to-mediate
τὰ εἰς εἰρήνην βεβούλευται. καὶ πρῶτα μὲν ἔστειλε
the(-things) for peace planned and first indeed sent

πρέσβεις πρὸς τὸν βασιλέα προοικονομήσοντας τὴν εἰς
envoys to the emperor to-arrange-beforehand the to
αὐτὸν τοῦ Οὔρου ἄφιξιν ἔξω πτοίας τε εἶναι καὶ ἐντίμως
him — of-Uros arrival outside of-fear both to-be and honorably
πρὸς τοῦ βασιλέως δεχθῆναι. καὶ γέγονε ταῦτα, καὶ ὁ
by the emperor to-be-received and happened these-things and —
Οὖρος εἰς τὸν βασιλέα ἀφίκετο. ἐδέχθη οὖν παρὰ τοῦ
Uros to the emperor arrived was-received then by the
αὐτοκράτορος ἀσμένως τε καὶ μετὰ τῆς προσηκούσης
autocrat gladly both and with the fitting
φιλοτιμήσεως καὶ οὗτός τε καὶ οἱ μετ᾽ αὐτοῦ, καὶ
generosity and he both and the(-ones) with him also
τὴν εἰρήνην πεποίηκεν ἐπομοσάμενος δικαίῳ τε αὐτοῦ
the peace made having-sworn by-right both his
καὶ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος,
and of-the son-in-law his the of-the Bulgarians ruler
ἀπολυθῆναι μὲν πρὸς τὸν βασιλέα τὸ τῆς Τζεπαίνης ἄστυ
to-be-released indeed to the emperor the — of-Tzepaina town
— τοῦτο γὰρ καὶ μόνον παρὰ τῶν Βουλγάρων κατείχετο
this for also only by the Bulgarians was-held
ἀφ᾽ ὧν ὁ βασιλεὺς Ἰωάννης ἐκράτει — εἰρήνην τε πρὸς
of which the emperor John mastered peace both toward
Βουλγάρους ἔχειν τὸν βασιλέα, καὶ ἑκάτερα τὰ μέρη τοῖς
Bulgarians to-have the emperor and each the parts with-the
παλαιτέροις ὁρίοις ἀρκεῖσθαι. ἐπεὶ γοῦν οὕτωσὶ ταυτὶ
older boundaries to-be-content when then thus these-things
κατὰ γνώμην τετέλεσται τῷ κρατοῦντι, ὁ μὲν Οὖρος
according-to mind were-accomplished for-the ruling(-one) — indeed Uros
τοὺς τῆς ἀποχωρήσεως εἰπὼν λόγους ἐξῄει βασιλικῶν
the of-the departure having-said words went-out of-imperial
χαρισμάτων τυχών· τὰ δ᾽ ἦσαν εἰς εἴκοσι χιλιάδας
gifts having-obtained the(-things) and were to twenty thousands

ἀπαριθμούμενα ἁπάντων συνεισαγομένων εἰδῶν ἵππων τε
numbered all brought-in-together kinds of-horses both
καὶ ὑφασμάτων καὶ λοιπῶν· ὁ δὲ βασιλεὺς διεκαρτέρει ἐν τῷ
and of-woven-stuffs and others the and emperor persisted in the
τῆς Ῥηγίνης τόπῳ, τὴν τῆς Τζεπαίνης περιμένων ἀπόλυσιν.
— of-Rhegina place the — of-Tzepaina awaiting release
Συμβέβηκε δέ τι ἐν τούτοις τῷ τότε πρᾶγμα 63
happened and some in these at-the then(-time) thing
θαυμάσιον, μνήμης καὶ ἱστορίας ἄξιον. ἡμέρα ἦν τῶν
wonderful of-memory and of-history worthy day it-was of-the
ἐπιφανῶν τε καὶ ἑορτασίμων, καθ' ἣν τὴν Χριστοῦ
notable both and festal on which the of-Christ
μεταμόρφωσιν οἱ εὐσεβεῖς ἑορτάζομεν· καὶ ἐπεὶ ἔδει
transfiguration the pious(-ones) we-celebrate and since it-was-necessary
καὶ ἀμφὶ τὴν ἱερὰν μυσταγωγίαν, ὡς τὸ εἰωθός, παρεῖναι
also at the sacred liturgy as the custom to-be-present
τὸν βασιλέα, εἰς ἀργίαν ὁ τοῦ ἀρίστου παρετάθη καιρός.
the emperor into idleness the of-the luncheon was-extended time
ἠριστήσαμεν οὖν καὶ αὐτοί, καὶ μικρόν τι καθευδήσαντες
we-lunched then also ourselves and a-little something having-slept
ἀνηγέρθημεν· ἤδη δὲ ὁ ἥλιος τῷ ὁρίζοντι προσήγγισε τῆς
we-were-roused already and the sun to-the horizon drew-near of-the
δυσμῆς. ἔθος δὲ ὑπῆρχε τῷ βασιλεῖ περὶ δείλην ἑσπέραν
west custom and was for-the emperor about late evening
ἐποχεῖσθαι καὶ σύμπαν διέρχεσθαι τὸ στρατόπεδον, καὶ
to-ride and whole to-go-through the camp and
ἀμφὶ τὸ τούτου τέρμα εἰς τόπον ἀγχώμαλόν πως τελοῦντα
at the its end to place level somehow being
καὶ μικρὸν ὑπερανεστηκότα τῆς πεδιάδος ἀνέρχεσθαι καὶ
and a-little rising-above the plain to-go-up and
τὴν ὅλην καθορᾶν στρατιάν, ἣν καὶ πόλιν κινουμένην
the whole to-look-down-on army which also city moving

ὠνόμαζε, πάσας τὰς Ῥωμαϊκὰς ἄλλας πόλεις φυλάττουσαν.
he-named all the Roman other cities guarding
τοῦτο δὲ οὕτως ἐποίει διηνεκῶς, καὶ ὁ φωσφόρος δὲ εἴπερ
this and so he-did continually and the light-bearer and if-indeed
τὸν δυτικὸν εἰσδῦναι ὁρίζοντα ἔμελλεν, οὐ κατώκνει τοῦτο
the western to-set-into horizon was-about not hesitated this
ἐργάσασθαι. τὸ δὲ τοῦ στρατοπέδου διάστημα ἀμφί που
to-do the and of-the camp extent about somewhere
τὰ τεσσαράκοντα στάδια ἦν, εἰ μή γε καὶ πρός. ἔγωγε
the forty stades was if not at-least also more I
οὖν οὐκ ἀγαθῇ τύχῃ τότε χρησάμενος ὁ φιλοβασιλεύς τε
then not with-good fortune then having-met the emperor-loving both
καὶ μάταιος, πεπυσμένος ἱππότην εἶναι τὸν βασιλέα, τῆς
and vain having-learned on-horseback to-be the emperor the
ἡμιόνου ὡς εἶχον τάχους ἐπιβὰς δρομαῖος ἐφειπόμην
mule as I-had of-speed having-mounted running followed
αὐτῷ, οὐ τὸ τῆς ὥρας ἄωρον κατοπτεύσας, ὅπερ ἔδει.
him not the of-the hour untimeliness having-considered which was-needed
ἐφ᾽ ἵππου δὲ ὁ βασιλεὺς ἐπιβὰς ταχύτερον ἐπορεύετο, ὡς
on horse and the emperor having-mounted faster went as
δὲ εἶδέ με κατόπιν αὐτοῦ μὴ δυνάμενον ἐκείνῳ συνέπεσθαι,
and he-saw me behind him not being-able him to-follow
ὑπολαβὼν μή πως μακρύνας οὐχ ἕψομαι, εἰρήκει μοι·
having-supposed lest somehow having-fallen-behind not I-will-follow said to-me
‘μηδ᾽ ὅλως ἀπολειφθῇς, ἀλλὰ καὶ σχολαιότερον ἔρχου.’
not at-all be-left-behind but also more-leisurely come
Ἀπήει γοῦν εἰς τὸν συνήθη τόπον, καὶ σὺν αὐτῷ
he-went-off then to the customary place and with him
οἱ ἀμφ᾽ αὐτὸν λογάδες συνέστησαν, καὶ αὐτὸς σφίσι
the about him select-men stood-together and myself with-them
ξυνῆλθον ἑπόμενος, καὶ περιέστημεν κατὰ κύκλον πάντες.
came-together following and we-stood-around in circle all

καὶ ὁ βασιλεὺς ‘μεμαθήκατε’ φησι ‘τῶν προσφάτως
and the emperor have-you-learned says of-the(-things) recently
ἀπηγγελμένων ἡμῖν;’ καὶ ἡμεῖς ‘οὔκουν, ὦ βασιλεῦ.’ καὶ ὁ
reported to-us and we not-then O emperor and the
βασιλεύς· ‘ἄνθρωπός τις πρό τινος βραχείας ὥρας ἐλθὼν
emperor man some before some short hour having-come
ἀπήγγειλέ τι τῶν ἀβουλήτων. τὸ δ’ ἦν, ὡς
reported something of-the(-things) unwished the(-thing) and was that
ὁ Ῥῶσος Οὖρος ἡμᾶς ἐξηπάτηκε· χάριν γὰρ κέρδους
the Russian Uros us has-deceived for-the-sake for of-gain
ἐνταυθοῖ ἀφιγμένος τὴν μεσιτείαν τῆς εἰρήνης ἐψεύσατο
hither having-come the mediation of-the peace lied
καὶ ἐπίορκον ὤμοσε. φενάκη γοῦν ὑπῆρχε τὰ πάντα ἐκείνῳ
and falsely swore deceit then was the all for-him
ὅσα πεποίηκε, καὶ ἀπολογίαν εὐάφορμον ἔχει, ὥς φασι,
as-much-as he-did and excuse well-founded he-has as they-say
πρὸς τὴν τῶν ὅρκων διάλυσιν, ὅτιπερ ὁ τῶν Βουλγάρων
for the of-the oaths dissolution that-indeed the of-the Bulgarians
ἄρχων ὁ τούτου γαμβρὸς τὴν ἐπὶ συμφωνίαις τοιαύταις
ruler the his son-in-law the on agreements such
εἰρήνην οὐ καταδέχεται. τί οὖν ὑμῖν δοκεῖ; ἆρ’ ἀληθές
peace not accepts what then to-you seems then true
ἐστι τοῦτο ἢ ῥῆμα πεπλασμένον πρὸς ψευδολόγου;’ καὶ
is this or word fabricated by a-liar and
ἡμεῖς· ‘οὐδ’ ὅλως δοκεῖ πως’ ἔφημεν ‘ἀληθείας τὸν λόγον
we not at-all seems somehow we-said of-truth the account
ἔχεσθαι· πάνυ γὰρ τυγχάνει οὗτος ψευδὴς καὶ ἀβέβαιος,
to-hold very for is this false and unstable
ὅτιπερ ὁ Ῥῶσος Οὖρος οὐ μόνον ὑπὲρ ἑαυτοῦ ἀλλὰ καὶ
since the Russian Uros not only for himself but also
ὑπὲρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ τῶν Βουλγάρων ἄρχοντος
for the son-in-law his the of-the Bulgarians ruler

ἐπωμόσατο. πῶς οὖν ἐστὶ πεφυκὸς ἄνθρωπον ὄντα
swore how then is it-natural man being
Χριστιανὸν ἐπιορκίᾳ τοιαύτῃ περιπεσεῖν;' καὶ ὁ βασιλεύς·
Christian into-perjury such to-fall and the emperor
'ἡ τῶν χρημάτων ἴσως ἐπιθυμία παρέπεισεν ἂν αὐτὸν
the of-the money perhaps desire would-have-persuaded — him
εἰς τοιαύτην ἐξολισθῆσαι κακίαν, καὶ ἡμεῖς οὐ μόνον τὴν
into such to-slip wickedness and we not only the
τῶν Βουλγάρων ἀγάπην οὐκ ἔχομεν, ἀλλὰ καὶ τοσαῦτα
of-the Bulgarians love not have but also so-much
ἐπὶ κενῆς καταναλώκαμεν χρήματα.' 'οὐμενοῦν' ἡμεῖς
in vain we-have-spent money no-indeed we
ἔφημεν 'ἀληθὲς τουτὶ καθέστηκε, βασιλεῦ.' καὶ ὁ βασιλεὺς
said true this stands emperor and the emperor
ἰδίᾳ καὶ πρὸς ἐμέ· 'σὺ δὲ τί φάσκεις πρὸς ταῦτα;' καὶ
privately also to me you and what say to these-things and
αὐτός· 'οὑτωσί πως ἐν τούτοις ὡς καὶ οἱ ἄλλοι διάκειμαι,
myself thus somehow in these as also the others am-disposed
καὶ ἐπὶ πολὺ μᾶλλον ψεύδεσθαι τὸ λελεγμένον ἢ
and by much rather to-lie the(-thing) said than
ἀληθεύειν οἶομαι. εἰ δέ, οἷα συμβαίνει ποτὲ καὶ ἐν ἐνίοις,
to-speak-true I-think if and as happens sometimes also in some
καὶ ὁ Οὖρος οὑτοσὶ τοὺς ὅρκους ἠθετηκέναι βεβούληται,
also — Uros this(-man) the oaths to-have-set-aside has-wished
δόξας ἡμᾶς ἐξηπατηκέναι, ἀλλ' ἕξει μὲν οὗτος τὸ
having-seemed us to-have-deceived but will-have indeed he the
θεῖον καθ' ἑαυτοῦ πολέμιον, ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν τῆς
divine against himself hostile we and for ourselves the
ἀληθείας καὶ τοῦ δικαίου ὑπερμαχόμενον.' ταῦτ' εἴπομεν,
truth and the justice fighting-for these-things we-said
καὶ ὁ βασιλεὺς τοῖς λελεγμένοις συνήνεσε, καὶ
and the emperor with-the(-things) said agreed and

ὑποστρέφειν πρὸς τὰς σκηνὰς ἐφωρμήκαμεν· νὺξ γὰρ ἤδη,
to-return to the tents we-set-out night for already
ἀλλ' ἡ σελήνη πανσέληνος οὖσα φῶς ἡμῖν παρεῖχεν ὁρᾶν.
but the moon full being light to-us provided to-see
Καὶ ὁ βασιλεὺς διερχόμενος 'τί ὑμῖν δοκεῖ περὶ τῶν
and the emperor going-through what to-you seems about the(-things)
λελεγμένων;' αὖθις ἠρώτα. καὶ ἡμεῖς 'ψευδὲς τοῦτο, ὦ
said again asked and we false this O
βασιλεῦ.' τοῦτο δὲ οὐχ ἅπαξ οὐδὲ δὶς ἢ καὶ τρίς, ἀλλὰ
emperor this and not once nor twice or also thrice but
καὶ πολλάκις πυθόμενος ἦν, οἷα ἐκεῖνος μικρόψυχος ἐν
also often inquiring was as that(-man) small-souled in
τοιαύταις ὢν περιστάσεσι. καὶ ἡμεῖς τὰς ἀποκρίσεις ἐξ
such being circumstances and we the answers from
ἴσου πρὸς τὰς πεύσεις πεποιηκότες ἐσιωπῶμεν. ὁ δὲ καὶ
equal to the questions having-made were-silent he but also
πάλιν ἠρώτα. ἐπεὶ δὲ τοὺς ἄλλους σιγῶντας ἑώρα, πρὸς
again asked when and the others silent he-saw to
μὲ τὸν λόγον ἀποστρέψας ἠρώτηκε· 'σὺ δὲ τί φῂς πρὸς
me the speech having-turned asked you and what say to
ταῦτα;' τὴν τοῦ ὀφφικίου κλῆσιν προσθείς· 'ἡ τοιαύτη γὰρ
these-things the of-the office title having-added the such for
ὑπόθεσις σοὶ ἁρμόττει καὶ ὡς σὴ καθέστηκε μάλιστα.'
matter to-you fits and as yours stands especially
ταυτὶ δὲ ἔλεγε πρόφασιν ὀργῆς ζητῶν ἐφευρεῖν. ἦν δ'
these-things and he-said pretext of-anger seeking to-find said and
ἐγώ· 'τίνος χάριν ἐστὶν ἐμή; εἰ γὰρ μὴ καλῶς πεποίηκα
I of-what for-the-sake is mine if for not well I-did
τὰς γραφὰς καὶ τοὺς ὅρκους τετέλεκα μηδὲ προσηκόντως
the writings and the oaths I-completed nor fittingly
αὐτόν τε καὶ τοὺς ἀμφ' αὐτὸν ᾠκονόμηκα, σφάλμα
him both and the(-ones) about him managed error

τοῦτο ἐμὸν καὶ πταῖσμα μακρόν· εἰ δὲ πρεπόντως ταῦτα
this mine and stumble long if but fittingly these-things
γεγένηται καὶ ὡς οὐκ ἄλλως ἐχρῆν, τί πρὸς ἐμὲ τὰ
have-happened and as not otherwise it-was-right what to me the(-things)
παρ᾽ ἐκείνου πρὸς ἀνατροπὴν τῶν γεγενημένων
by him for overturning of-the(-things) having-happened
τελούμενα;᾽ καὶ ὁ βασιλεὺς — οὐκ οἶδ᾽ ὅπως· τὴν γὰρ
being-done and the emperor not I-know how the for
αἰτίαν εἰρήκειν — πάλιν λέγει· ‘τί φῂς περὶ τῶν
cause I-had-said again says what do-you-say about the
τοιούτων;᾽ καὶ αὐτός· ‘πολλάκις εἰρήκειν, ὦ βασιλεῦ, ὡς ἐπὶ
such(-things) and I-myself often I-had-said O emperor that for
πλέον μοι δοκεῖ τὸ εἰρημένον ψευδές, ἐπ᾽ ἔλαττον δὲ
more to-me seems the(-thing) said false for less but
ἀληθές· τὸ δὲ ἐπὶ τοῖς ἀδήλοις ἀκριβῶς ἀποφαίνεσθαι
true the and about the unclear(-things) exactly to-declare
οὔ μοι δοκεῖ ῥᾷον εἶναι.᾽ ἦ δ᾽ ἐκεῖνος· ‘ἐν τοῖς ἀδήλοις
not to-me seems easier to-be said and he in the unclear(-things)
ἐστὶ χάρις βεβαίως καὶ ἀκριβῶς ἀποφαίνεσθαι· ἐπὶ γὰρ
is grace firmly and exactly to-declare about for
τοῖς δήλοις καὶ οἱ ἀείδαροι λέγουσιν.᾽ ἦν δὲ ἐγώ·
the clear(-things) also the ever-flayed speak said and I
‘ἰδοὺ μετὰ τῶν ἀειδάρων καὶ ἡμεῖς συντετάγμεθα.᾽ καὶ ὁ
behold with the ever-flayed also we have-been-ranked and the
βασιλεὺς χόλου πλησθείς· ‘σὺ πάντοτε ἦσθα᾽ ἔφη ‘μωρὸς
emperor with-bile having-been-filled you always were he-said fool
καὶ ἀρτίως πάλιν μωρός.᾽ καὶ αὐτὸς οὐδέν τι πλέον μὰ
and just-now again fool and myself nothing at-all more by
τοὺς λόγους ἀνταπεκρίθην ἀλλ᾽ ἤ· ‘ἐγὼ μέν εἰμι μωρὸς
the words answered but than I indeed am fool
καὶ ἵνα σιωπῶ, οἱ δὲ φρονοῦντες λαλείτωσαν.᾽
and that I-may-be-silent the(-ones) but being-sensible let-them-speak

Ταῦτ᾽ εἶπον, καὶ ὀργῆς ὁ βασιλεὺς ἀπλέτου καὶ
these-things I-said and with-anger the emperor boundless and
μανίας πλησθεὶς καὶ οἷον ἐκβακχευθεὶς τῷ θυμῷ
madness having-been-filled and as-if driven-to-frenzy by-the rage
ἑλκύσαι μὲν ὥρμησε τὴν σπάθην τοῦ κουλεοῦ, τῆς
to-draw indeed rushed the sword from-the scabbard the
κώπης ἐπιλαβόμενος. ἀλλὰ τοῦτο μὲν κατέσχε· μικρὸν
hilt having-seized but this indeed he-checked a-little
γὰρ ταύτην ἀπογυμνώσας πάλιν εἰσῆξε· τῷ μεγάλῳ δὲ
for it having-bared again thrust-in to-the great and
δομεστίκῳ αὐτοῦ τῷ Μουζάλωνι Ἀνδρονίκῳ καταβαλεῖν με
domestic his — Mouzalon Andronikos to-throw me
τοῦ ἵππου προσέταξε. καὶ ὃς ἐβούλετο μέν, οὐκ ἠδύνατο
from-the horse ordered and he wished indeed not was-able
δέ· λεπτὸν γὰρ εἶχε καὶ ἀδρανὲς τὸ σωμάτιον. ἠρέμα δέ
but slight for he-had and feeble the little-body gently and
πως ἔφη· ‘ἔκστηθι τῆς ἐφεστρίδος.’ καὶ αὐτὸς ἀπέβην
somehow said get-off the saddle-cloth and myself dismounted
τῆς ἡμιόνου. ὁ δὲ χρηστότατος περὶ ἡμᾶς βασιλεὺς
from-the mule the but most-kind toward us emperor
τοὺς πολλὰ πρὸς τοῦ πατρὸς αὐτοῦ δι᾽ αὐτὸν
the(-ones) much by the father his because-of him
πεπονθότας, ὃς ἐν πολλῷ πλήθει καὶ πολλάκις διαπρυσίῳ
having-suffered who in great multitude and often with-piercing
ἔλεξε τῇ φωνῇ ὡς ‘πολλῶν μοι αἴτιος ἀγαθῶν οὑτοσὶ ὁ
spoke the voice that of-many to-me cause of-good(-things) this-here the
ἄνθρωπος γέγονε’ — περὶ τῆς λογικῆς φάσκων παιδείας
man has-become about the logical saying education
— ‘καὶ πολλῶν ὀφειλέτης τούτῳ τυγχάνω,’ ὁ τὴν
and of-many debtor to-him I-am the(-one) the
κλῆσίν μοι προθέμενος ἐν πολλοῖς καὶ γλυκὺ ταύτην
title to-me having-set-before in many(-things) and sweet it

κατονομάζων καὶ πρᾶγμα καὶ ὄνομα, δυοῖν κορυνοφόροιν
naming both thing and name to-two club-bearers
προσέταξε τύπτειν με, χθιζὰ καὶ πρὸ τρίτης τούτους
ordered to-beat me yesterday and before three(-days) them
χειροτονήσας, ὡς εἴκοσι τέσσαρας πάντας τὸν ἀριθμόν, οὐκ
having-appointed as twenty four all the number not
οἶδα εἰ μὴ δι' ἐμέ, ἵν' εἴη καὶ σκηνὴ τοῦ δράματος
I-know if not because-of me that might-be also stage of-the drama
εἰς τραγῳδίαν ἀξίαν μεμορφωμένη. καὶ οἱ μὲν ἔτυπτον,
into tragedy worthy shaped and the(-ones) indeed beat
ἐγὼ δὲ σιγῇ τὰς τύψεις ἐλάμβανον. ὃ καὶ μᾶλλον
I but in-silence the blows received which also more
τοῦτον ἐξέμαινεν, ὅτι μηδ' ὅλως πρὸς δεήσεις κάμπτομαι
him maddened that not at-all to entreaties I-am-bent
καὶ πληττόμενος. ἐπεὶ δὲ πολλὰς κατὰ παντὸς ἐδεξάμην
even being-struck when and many over all I-received
τοῦ σώματος, μόγις ἰσχνῇ καὶ ἠρεμαίᾳ φωνῇ 'ὦ Χριστὲ
the body hardly in-thin and quiet voice O Christ
βασιλεῦ,' ἔφην, 'πόσας νενόσηκα νόσους, καὶ διὰ τί
king I-said how-many I-have-been-sick illnesses and because-of what
ἐν οὐδεμιᾷ τούτων κατέλυσα τὴν ζωήν, ἀλλ' ἐν τοιούτοις
in none of-these I-ended the life but for such
με καιροῖς ἐταμίευες;' ταῦτ' εἶπον, καὶ ὁ βασιλεὺς
me times you-were-reserving these-things I-said and the emperor
οἷον αἰδεσθεὶς ἀπηλλάγη, ἑνὶ τῶν ἀκολούθων αὐτοῦ
as-if having-been-ashamed went-off to-one of-the attendants his
εἰρηκώς· 'λάβε τοῦτον αὐτός.' καὶ ὃς ἔφιππόν με λαβὼν
having-said take him yourself and he on-horseback me having-taken
ἠρώτα, ποῦ ἂν καὶ ἀπέλθοιμεν, ἐγὼ δέ· 'ὅπου ἂν αὐτὸς
asked where — also we-might-go I and where — yourself
βούλει, ἐφέπομαι.' καὶ πάλιν οὗτος διὰ τῶν ἐρωτήσεων
you-wish I-follow and again he through the questions

κατηνάγκαζε· τότε γοῦν καὶ αὐτὸς πρὸς τοῦτον ἀντέφην
compelled then at-any-rate also myself to him replied
ὡς ‘δεῖ ἡμᾶς τὴν πρὸς τοὺς Βαρδαρειώτας βαδίσαι·
that it-is-necessary for-us the(-road) to the Bardariotai to-go
τοῦτο γάρ μοι δοκεῖ καὶ μᾶλλον συμφέρον σοι.’ καὶ γέγονεν
this for to-me seems also more advantageous to-you and it-happened
οὕτως, καὶ ἐς τῶν Βαρδαρειωτῶν ἀπήειμεν τὰς σκηνάς.
so and to of-the Bardariotai we-went-off the tents
ἰδὼν δέ με ὁ αὐτῶν πριμμικήριος θαυμάσας ἠρώτα,
having-seen and me the their primmikerios having-wondered asked
τί ἂν βουλόμενος περὶ τὴν αὐτοῦ σκηνὴν ἀφικόμην· καὶ
what — wishing to the his tent I-had-come and
ἔγωγε ‘μικρᾶς’ ἔφην ‘ἀναπαύσεως χάριν.’ βραχὺ γοῦν
I of-small said of-rest for-the-sake short(-while) then
τι προσεκαρτέρησα τοῖς ἐκεῖσε· ἤδη γὰρ καὶ ὁ
some I-stayed with-the(-men) there already for also the
πριμμικήριος ἐμεμαθήκει τὰ κατ’ ἐμέ. ὁ δὲ βασιλεὺς
primmikerios had-learned the(-things) concerning me the but emperor
οὐδ’ εἰς πολὺ μελλήσας διεμηνύσατο εἰς τὴν σκηνὴν
not-even for long having-delayed sent-word to the tent
ἀφικέσθαι με. δεδιὼς δὲ μή πως τῇ λύπῃ κατασχεθεὶς
to-come me fearing and lest somehow by-the grief having-been-gripped
φυγῇ χρήσωμαι, προσέταξε μοῖράν τινα στρατιωτικὴν
flight I-should-use ordered portion some military
περιστοιχίσαι μου τὴν σκηνὴν καὶ λεληθότως φυλάττειν με.
to-surround my the tent and secretly to-guard me
Ἐγὼ μὲν οὖν εἰς τὴν οἰκείαν ἀφιγμένος σκηνὴν ἡσύχως
I indeed then to the own having-arrived tent quietly
ἐν αὐτῇ τὸν καιρὸν διεβίβαζον, οὐκ ἐν ἀνακτόροις βαδίζων
in it the time spent not in palace going
οὐδέ τινι τῶν συνήθων καὶ ἐπιτηδείων προσομιλῶν, ἀλλ’
nor with-any of-the familiar and close(-friends) conversing but

ἢ ταῖς βίβλοις προσανέχων καὶ ἀναγνώσει χρώμενος καὶ
than to-the books attending and in-reading engaging and
τροφῆς μεταλαμβάνων κατὰ καιρόν. ἱκαναὶ γοῦν ἡμέραι
of-food partaking in season sufficient then days
οὑτωσί πώς μου ἔχοντος παρῳχήκεσαν, καὶ ὁ βασιλεὺς
thus somehow my being had-passed and the emperor
ἠγανάκτει τὸ σκληρόν μου καθορῶν τοῦ φρονήματος.
was-vexed the hardness my seeing of-the spirit
παρῄει γοῦν ὅλος ὁ Αὔγουστος, καὶ οὐδ' ὅλως ἐνδοῦναι
passed then whole — August and not at-all to-give-way
εἶχον τῆς ἧς ἔστερξα γνώμης μικρόν. πολλοὶ γοῦν
I-was-able of-the which I-had-embraced resolve a-little many then
τῶν ἀρχιερέων ἀφίκοντο πρὸς ἐμέ, βασιλικῇ μέν, ὡς
of-the high-priests came to me by-imperial indeed as
ἠπιστάμην, τῇ προσταγῇ, εἰ καὶ ἐκεῖνοι λανθάνειν ἤθελον,
I-knew the order if even they to-escape-notice wished
οἴκοθεν λέγοντες ἀφικέσθαι πρὸς ἐμὲ φιλίας χάριν καὶ
from-themselves saying to-have-come to me of-friendship for-the-sake and
χρηστῆς διαθέσεως· πολλά τε λέγοντες τὸ ἀπόκροτον
of-kind disposition many(-things) both saying the hard
καταλιπεῖν με τῆς γνώμης καὶ τῷ βασιλεῖ ξυνελθεῖν
to-leave me of-the resolve and with-the emperor to-come-together
καὶ αὖθις αὐτῷ πρὸς τὸν τῆς δουλείας συνελαθῆναι ζυγόν,
and again with-him to the of-the slavery to-be-driven yoke
οὐχ εὕρισκον ὅλως πειθήνιον· ἔφασκον γὰρ ὡς 'εἴπερ μοι
not they-found at-all obedient I-said for that if-indeed to-me
τὰ χρηστότατα ὁ βασιλεὺς ἐπιδείξαιτο, ὁποῖα οὐδεὶς ἄλλος
the kindest(-things) the emperor should-show such-as no-one other
τῶν βεβασιλευκότων ἐπί τινι τῶν ὑπηρετησάντων
of-the(-ones) having-reigned toward any of-the(-ones) having-served
αὐτῷ ἐπιδέδειχεν, ἢ τὰ χείρω καὶ κάκιστα ἐν ἐμοὶ
him has-shown or the worse(-things) and worst in me

κατεργάσαιτο, οἷα οὐδεὶς ἄλλος τῶν ἐπὶ κακίᾳ
should-work as no-one other of-the(-ones) for wickedness
περιβοήτων ἐν οὐδενὶ τῶν ἁπάντων πεποίηκεν, οὔθ' οὕτως
notorious in none of-the all has-done neither so
οὔτ' ἐκείνως τῷ βασιλεῖ κατά τι δουλεύσαιμι.' ἐγὼ
nor thus to-the emperor in anything I-would-serve I
μὲν οὖν οὕτως εἶχον γνώμης καὶ ἀμεταθέτου σκοποῦ.
indeed then so held of-resolve and of-unchangeable aim
Ἐπεὶ δὲ καὶ ὁ Σεπτέβριος ἐφεστήκει μὴν καὶ ἡ τοῦ
when and also — September had-come-on month and the of-the
δεσπότου Μιχαὴλ σύζυγος Θεοδώρα παρὰ τὸν βασιλέα
despot Michael wife Theodora to the emperor
ἀφίκετο μετὰ τοῦ υἱοῦ αὐτῆς Νικηφόρου, τὸ πρὸς τὸν
arrived with the son her Nikephoros the with the
βασιλέα κῆδος ἀποπληρώσοντες, ὅπερ ὁ βασιλεὺς
emperor marriage-alliance to-fulfill which the emperor
Ἰωάννης ὁ τοῦ βασιλεύοντος πατὴρ πρὸ χρόνων τινῶν
John the of-the reigning(-one) father before years some
συμπεφώνηκεν, ὁ μὲν βασιλεὺς ἔσπευδε τὴν Θεσσαλονίκην
had-agreed the indeed emperor hastened — Thessalonica
καταλαβεῖν, ἔνθα καὶ τοὺς γάμους ποιῆσαι βεβούληται.
to-reach where also the wedding to-make wished
καὶ δήπερ ἀπάρας ἐξ οὗπερ ἔκειτο τόπου τῆς εἰς
and indeed having-set-out from where he-lay place the(-road) to
τὴν Θεσσαλονίκην φερούσης ἥπτετο· καθ' ὁδὸν δὲ μετὰ
— Thessalonica leading took-hold-of on road and with
τῆς τοῦ δεσπότου συζύγου τὰς συμβιβάσεις ἐποίει. ἡ μὲν
the of-the despot wife the agreements made the indeed
οὖν τοῦ δεσπότου σύζυγος Θεοδώρα καὶ ἄκουσα τοῖς τοῦ
then of-the despot wife Theodora even unwilling with-the of-the
βασιλέως λόγοις συνήρχετο· ἐντὸς γὰρ τῶν ἐκείνου χειρῶν
emperor words agreed within for the his hands

οὖσα καὶ μικροῦ δεῖν ὡς ἐν εἱρκτῇ τυγχάνουσα οὐκ εἶχέ
being and of-little to-lack as in prison being not had
τι ἄλλο δρᾶσαι. συμπεφώνηκε γοῦν δοῦναι πρὸς τὸν
anything other to-do agreed then to-give to the
βασιλέα τὸ κάστρον τὰ Σέρβια καὶ σὺν αὐτῷ καὶ τὸ
emperor the castle — Servia and with it also —
Δυρράχιον. ἐπὶ τούτοις καὶ ὅρκοι ἐγγράφως προέβησαν
Dyrrachion on these also oaths in-writing proceeded
καὶ ἀπεστάλησαν πρὸς τὸν δεσπότην Μιχαήλ. ὁ δέ, ὅ
and were-sent to the despot Michael he and what
φησιν ἡ ποίησις, ἑκὼν ἀέκοντί γε θυμῷ τοῖς
says the poem willing with-unwilling at-least spirit with-the(-things)
ὁμωμοσμένοις συνῆλθεν· ηὔχετο γὰρ ἐλευθερωθῆναι καὶ
sworn agreed prayed for to-be-freed and
παρ᾽ αὐτὸν γενέσθαι καὶ τὸν υἱὸν καὶ τὴν σύζυγον.
to him to-come both the son and the wife
Ἐν τοῖς τοιούτοις τῶν λόγων ὁ βασιλεὺς κἀμὲ τῆς ἧς
in the such of-the words the emperor also-me from-the which
εἶχον ἐκμοχλεύσας στερρότητος ἐχειρώσατο. ἐξαποστείλας
I-had having-prised-loose firmness subdued having-sent-out
γὰρ τὸν πρὸς πάππου αὐτοῦ θεῖον τὸν Λάσκαριν
for the on-the-side-of grandfather his uncle — Laskaris
Μανουὴλ καὶ τὸν πρωτοβεστιάριον αὐτοῦ τὸν Μουζάλωνα
Manuel and the protovestiarios his — Mouzalon
Γεώργιον ἱλαροῖς καὶ ἁπλοῖς τισιν ἐχρήσατο λόγοις, καί
George with-cheerful and simple some used words and
με εἶλε, καὶ πρὸς αὐτὸν οἱ ἀποσταλέντες ἀπήγαγον.
me took and to him the(-ones) sent led-away
καὶ γοῦν προσιὼν τῷ βασιλεῖ καὶ ὡς ἔθος κλίνας τὴν
and then approaching the emperor and as custom having-bowed the
κεφαλὴν μακρότερον ἔστην. καὶ ὁ βασιλεύς· ‘οὐκ οἶδας ὅπῃ
head farther-off I-stood and the emperor not you-know where

εἰώθεις ἵστασθαι; τὸν τόπον σου γινώσκεις, καὶ πρόσιθι.᾽
you-were-wont to-stand the place your you-know and come-forward
τῇ προσταγῇ γοῦν ὑπείξας τοῦ βασιλέως ἀπελθὼν ἔστην
to-the order then having-yielded of-the emperor having-gone I-stood
ἐκ πλαγίου αὐτοῦ καθώσπερ εἶχον καὶ ἔθος. τότε γοῦν
from side his as I-had also custom then at-any-rate
μοι ὁ βασιλεὺς τὰς τοῦ δεσπότου Μιχαὴλ ὑποθέσεις πάσας
to-me the emperor the of-the despot Michael matters all
ἀνεκοινώσατο καὶ ἐξ ἀρχῆς ὅπως προέβησαν διηγήσατο.
communicated and from beginning how they-proceeded narrated
ταῦτα μὲν οὖν ἐν τοῖς τοῦ Λαγκαδᾶ — τόπος δέ ἐστιν
these-things indeed then in the(-places) — of-Langadas place and is
οὗτος ἐγγύς που τυγχάνων τῆς Θεσσαλονίκης — ἐγένετο.
this near somewhere being — Thessalonica happened
Ἐπεὶ δὲ ὁ βασιλεὺς τὴν Θεσσαλονίκην κατείληφε, τοὺς 64
when and the emperor — Thessalonica had-reached the
ἐπὶ τῇ θυγατρὶ Μαρίᾳ γάμους μετὰ τοῦ υἱοῦ τοῦ
for the daughter Maria wedding with the son of-the
δεσπότου Μιχαὴλ Νικηφόρου, ὃν καὶ δεσπότην τετίμηκεν,
despot Michael Nikephoros whom also despot he-honored
ἐκπεπλήρωκεν.
fulfilled
Ἐν τούτοις δὲ ὄντος τοῦ βασιλέως γραφή τις πρὸς
in these and being the emperor letter some to
αὐτὸν ἐξεπέμφθη παρὰ τῶν ἐν τοῖς Βιθυνίας μέρεσιν
him was-sent from the(-ones) in the of-Bithynia parts
ὄντων καὶ εἰς φυλακὴν εἶναι τοῦ τόπου προστεταγμένων,
being and on guard to-be of-the place ordered
ὡς ὁ Μιχαὴλ Κομνηνὸς ὁ Παλαιολόγος, ὃν καὶ μέγαν
that — Michael Komnenos the Palaiologos whom also great
κονοστάβλον πρὸς τοῦ βασιλέως Ἰωάννου ὁ λόγος φθάσας
konostaulos by the emperor John the account anticipating

τετιμῆσθαι δεδήλωκε καὶ τὴν τῆς ἁπάσης ταύτης
to-have-been-honored has-shown and the of-the whole this
χώρας ἡγεμονίαν ἐμπεπιστεῦσθαι, φυγὰς ᾤχετο καὶ περὶ
land command to-have-been-entrusted fugitive went and to
τὸν τῶν Μουσουλμάνων ἀπῄει χῶρον. ἐταράχθη γοῦν ἐπὶ
the of-the Muslims went-off region was-troubled then at
τούτοις ὁ βασιλεὺς οὐ μικρῶς, καί με προσκαλεσάμενος
these the emperor not slightly and me having-summoned
‘ἔγνως,’ ἔφη, ‘τί γέγονε καὶ αὐτός;’ ‘οὐδαμῶς’ ἔφην,
have-you-learned he-said what has-happened and I by-no-means I-said
‘ὦ βασιλεῦ· τί δέ ἐστι τὸ προσφάτως γεγενημένον;’
O emperor what and is the recently having-happened
ὁ δέ φησιν· ‘ὁ μέγας κονοστάβλος ἀπέδρα καὶ περὶ
he and says the great konostaulos ran-away and to
τὰ τῶν Μουσουλμάνων κεχώρηκε. τί γοῦν ἄρα
the(-lands) of-the Muslims has-gone what then indeed
περὶ τοῦ τοιούτου διανοῇ; μῶν πρὸς Μουσουλμάνων
about the such do-you-think surely-not from Muslims
προσλαβόμενος στράτευμα καθ’ ἡμετέρας χωρήσει χώρας;’
having-taken army against our will-he-go lands
‘οὐδαμῶς μοι δοκεῖ τοιοῦτον, ὦ βασιλεῦ,’ ἔφην, ‘αὐτὸν
by-no-means to-me seems such O emperor I-said him
διαπράξασθαι· τὴν γὰρ γνώμην τοῦ ἀνδρὸς ἐπέγνων
to-accomplish the for mind of-the man I-know
καὶ τὸ τοῦ φρονήματος ἐπίσταμαι φιλορώμαιον.’ καὶ
and the of-the spirit I-understand Rome-loving and
ὁ βασιλεύς· ‘τίνος οὖν χάριν φυγὰς τῶν ἡμετέρων
the emperor of-what then for-the-sake fugitive from-the our(-lands)
ἐγένετο;’ ‘ὅτιπερ,’ ἔφην, ‘ὡς οἶσθα, ὦ βασιλεῦ, οὐχ
did-he-become because I-said as you-know O emperor not
ἅπαξ οὐδὲ δὶς ἀλλὰ καὶ μυριάκις ἠπείλεις αὐτῷ τὰ
once nor twice but also ten-thousand-times you-threatened him the

δεινότατα καὶ ὠργίζου κατ᾽ αὐτοῦ χαλεπῶς, καὶ ἐν
most-terrible(-things) and were-angry against him harshly and in
πλήθει παρόντι πολλῷ ἔφασκες ἐκπέμψαι καὶ ἐξορύξαι
multitude present great you-said to-send-out and to-gouge-out
οἱ τοὺς ὀφθαλμούς. ταῦτ᾽ ἐκεῖνος ἐμάνθανε καὶ παρὰ
his the eyes these-things he learned and from
πολλῶν τῶν λεγομένων ἤκουε, καὶ ἐδάκνετο τὴν
many of-the(-things) said heard and was-bitten the
ψυχὴν καὶ ἐδειλία τὴν τιμωρίαν καὶ ἀποφυγεῖν ἐπέσπευσε
soul and feared the punishment and to-escape hastened
τὴν ποινήν.᾽ ‘καὶ διὰ τί,᾽ ἔφη ὁ βασιλεύς, ‘οὐκ ἐν
the penalty and because-of what said the emperor not in
τοῖς ἡμετέροις προσεκαρτέρει, καὶ εἰ παθεῖν ἔμελλε τὰ
the our(-lands) did-he-persevere even if to-suffer he-was-about the
δεινὰ ταῦτα, τῆς ἐπὶ τῆς ἀλλοδαπῆς εὐπραγίας
terrible(-things) these than-the in the foreign-land good-fortune
τὴν ἐν τοῖς ἰθαγενέσι προτιμῶν δυσπραγίαν;᾽ ‘οὐκ ἔστι
the among the native-born preferring misfortune not is
τοῦτο ψυχῆς ἀνθρωπίνης,᾽ ἔφην, ‘ὦ βασιλεῦ. δεινὰ
this of-soul human I-said O emperor terrible(-things)
μὲν γὰρ παθεῖν καὶ περιπεσεῖν συμφοραῖς ἔνιοι ἂν ἱκανοὶ
indeed for to-suffer and to-fall-into misfortunes some — able
φανῶσι, στερροτέρου γεγενημένοι φρονήματος καὶ οἷον
might-appear of-firmer having-become spirit and so-to
εἰπεῖν ἀπροσπαθοῦς ἐν τοῖς τοῦ βίου πράγμασι· τὸ δὲ
speak unattached in the of-the life affairs the but
περὶ αὐτῇ τῇ ζωῇ δεδιέναι καὶ ἀκρωτηριασμὸν τῶν
about itself the life to-fear and mutilation of-the
καιριωτέρων σωματικῶν μερῶν προσδοκᾶν, οὐμενοῦν δοκεῖ
more-vital bodily parts to-expect not-at-all seems
τινα ἐν τούτοις προσκαρτερεῖν, ἀλλὰ τὸν περὶ ψυχῆς
anyone in these to-persevere but the(-race) for soul

τρέχων ἀποφυγγάνει τῶν δεινῶν ὅση δύναμις.'
running escapes the terrible(-things) as-much-as power
ταῦτ' εἰπόντες σεσιωπήκαμεν. καὶ μετὰ βραχὺ 'τί δὲ
these-things having-said we-were-silent and after short(-while) what and
οἴει' ὁ βασιλεὺς ἔφη 'τοῦτον ποιῆσαι;' ἐγὼ δὲ ἔφην ὡς
do-you-think the emperor said him to-do I and said that
'μικρὸν ὑπολαμβάνω παρὰ τὸν περσάρχην προσκαρτερήσας
a-little I-suppose with the Persian-ruler having-stayed
ἀποστελεῖ συμπαθείας πρὸς τοῦ σοῦ κράτους ἀξιωθῆναι,
he-will-send of-sympathy by the your might to-be-deemed-worthy
ἔχων καὶ τὸν περσάρχην ἐπὶ τῇ ὑποθέσει μεσολαβοῦντα,
holding also the Persian-ruler in the matter mediating
ζητήσει δέ σε ὅρκον εἰς τὴν τῆς ἀληθείας βεβαίωσιν, οὗ
he-will-seek and you oath for the of-the truth confirmation which
ἄνευ οὐκέτι μοι δοκεῖ παρὰ σὲ ἀφικέσθαι.' ἐν τούτοις ἦν
without no-longer to-me seems to you to-come in these was
τεταραγμένος ὁ βασιλεύς, ἐν ἀμφιβόλοις τυγχάνων τοῖς
troubled the emperor in doubtful being the
πράγμασιν. ὡς δὲ μετ' ὀλίγας τινὰς ἡμέρας γραφαὶ πρὸς
affairs as and after few some days letters to
τὸν βασιλέα ἐπέμφθησαν πρὸς τῶν στραταρχούντων ἐν
the emperor were-sent from the(-ones) generalling in
Βιθυνίᾳ καὶ Μεσοθυνίᾳ — αἱ δὲ γραφαὶ τοῦ μεγάλου
Bithynia and Mesothynia the and letters of-the great
κονοστάβλου ἐτύγχανον πρὸς αὐτούς, περιλήψεως ἔχουσαι
konostaulos happened to them of-tenor having
οὕτως — πρὸς ἕνα δὲ ἕκαστον τῶν τοιούτων ἐγεγραφήκει
so to one and each of-the such(-men) he-had-written
— ὡς 'ἐγὼ τὸν ἐκ τοῦ βασιλέως φόβον ἐν τῇ καρδίᾳ
that I the from the emperor fear in the heart
μου σχὼν καὶ δεδιὼς μή πού τι πάθω δεινόν,
my having and fearing lest somehow something I-might-suffer terrible

φυγῇ ἐχρησάμην· ὑμεῖς δὲ φρονίμως καὶ ἀνδρικῶς τῶν
flight I-used you but sensibly and manfully the
στρατιωτικῶν ὑμῖν πραγμάτων ἀντέχεσθε, καὶ αἱ φυλακαὶ
military for-you affairs hold-to and the guards
τῶν πολιχνίων καὶ ἄστεων ἀσφαλεῖς ἔστωσαν, καὶ ἡ τῆς
of-the small-towns and towns secure let-be and the of-the
ἁπάσης χώρας προσοχὴ καὶ συντήρησις παρ᾽ ὑμῶν ὡς
whole land attention and preservation by you as
ἔθος γινέσθω, καὶ καθὼς ἐπράττετε μετ᾽ ἐμοῦ, καὶ αὖθις
custom let-be-done and as you-did with me also again
ποιεῖτε.᾽ καὶ ἡ ἐπιγραφὴ τὸν μέγαν κονοστάβλον ἐσήμαινε.
do and the superscription the great konostaulos signified
ταύτας ὁ βασιλεὺς θεασάμενος τὰς γραφὰς ἱλαρῶς διετέθη
these the emperor having-seen the letters cheerfully was-disposed
πρὸς τὴν ὑπόθεσιν καὶ τοῖς λόγοις μου ἐμπεπίστευκεν.
toward the matter and the words my trusted
Ἐνταῦθα δὲ τοῦ λόγου γενόμενοι τὰ τῆς ἱστορίας, ὡς 65
here and of-the account having-come the(-things) of-the history as
δέον ἐστίν, ἐμπλατύνομεν· πολλῶν γὰρ λόγων ἄξια τὰ
needful it-is we-broaden of-many for words worthy the(-things)
ἐν τῇ φυγῇ γεγενημένα τοῦ Κομνηνοῦ Μιχαήλ. ἐπεὶ γὰρ
in the flight having-happened — of-Komnenos Michael when for
οὗτος ἐν τοῖς οἰκήμασι τῶν Τουρκομάνων ἀφίκετο — ἔθνος
he in the dwellings of-the Turkomans arrived nation
δὲ τοῦτο τοῖς ἄκροις ὁρίοις τῶν Περσῶν ἐφεδρεῦον, καὶ
and this on-the extreme borders of-the Persians lying-in-wait and
ἀσπόνδῳ μίσει κατὰ Ῥωμαίων χρώμενον καὶ ἁρπαγαῖς
with-implacable hatred against Romans using and in-plunderings
ταῖς ἐκ τούτων χαῖρον καὶ τοῖς ἐκ πολέμων σκύλοις
the(-ones) from these rejoicing and in-the from wars spoils
εὐφραινόμενον, καὶ τότε δὴ μᾶλλον, ὁπότε τὰ τῶν
delighting and then indeed rather when the(-affairs) of-the

Περσῶν ἐκυμαίνετο καὶ ταῖς ἐκ τῶν Ταχαρίων ἐφόδοις
Persians were-surging and by-the from the Tachars attacks
συνεταράττετο — τῷ Κομνηνῷ Μιχαὴλ ὡς ἑρμαίῳ
were-confounded — Komnenos Michael as windfall
ἐντυχόντες τινὲς καὶ λίχνον ὄμμα τοῖς αὐτοῦ ἐπιβαλόντες
having-met some and greedy eye on-the his having-cast
πράγμασι, πάντα τὰ αὐτοῦ διηρπάκασι, χρυσὸν ἄργυρον
affairs all the(-things) his plundered gold silver
ἵππους ὑφάσματα καὶ αὐτὰ δὴ τὰ ἐνδύματα, οἷς
horses woven-stuffs and the-very indeed the garments with-which
οἱ αὐτοῦ ἐνεδέδυντο. διαμερίσαντες δὲ καὶ πάντας
the(-men) his were-clothed having-divided and also all
τοὺς ἑφεπομένους αὐτῷ, ἕκαστος τὸν κατισχημένον εἰς
the(-ones) following him each the(-one) seized into
οἰκείαν δουλείαν ἠγάγετο. ὁ δὲ Κομνηνὸς Μιχαὴλ μόγις
own slavery led — and Komnenos Michael hardly
τὰς χεῖρας τούτων διεκφυγὼν καὶ θεοῦ προνοίᾳ διασωθεὶς
the hands of-these having-escaped and of-God by-providence having-been-saved
γυμνὸς ἁπάντων παρὰ τὸν περσάρχην ἀφίκετο. ὁ δὲ οὐ
naked of-all to the Persian-ruler arrived he but not
κατὰ νέηλυν φυγάδα τοῦτον ἐδέξατο, ἀλλ᾽ ἀσμένως λίαν
as a-newly-arrived fugitive him received but gladly very
προσήκατο. τό τε γὰρ εὐγενὲς τοῦ ἀνδρὸς ἐμεμαθήκει,
admitted the both for nobility of-the man he-had-learned
καὶ πάντες οἱ μετὰ τοῦ περσάρχου μεγιστᾶνες τελοῦντες
and all the with the Persian-ruler grandees being
τὸ εἶδος αὐτοῦ καὶ τὸ φρόνημα τεθαυμάκασι, καὶ ὅ φησί
the form his and the spirit admired and what says
τις τῶν παλαιῶν, τυραννίδος ἄξιον ἔκριναν. εἰς ὀλίγους
one of-the ancients of-tyranny worthy judged to few
γὰρ αὐτῷ ξυνιόντες λόγους ἐκ βραχέων τὴν τοῦ ἀνδρὸς
for with-him coming-together words from short(-ones) the of-the man

ἐπεγνώκεισαν σταθηρότητα· τήν τε γὰρ αὐτοῦ στρατιωτικὴν
they-had-recognized steadiness the both for his military
ἐτεκμήραντο τέχνην καὶ τὴν ἐν τοῖς πολέμοις ἀκρίβειαν
they-inferred skill and the in the wars exactness
καὶ ὡς οὐκ ἀδαὴς ἂν εἴη τῶν προσηκόντων
and that not unskilled — he-would-be of-the(-things) fitting
ἐν μάχαις. χάριν μὲν οὖν τῶν ἐσκυλευμένων αὐτῷ
in battles for-the-sake indeed then of-the despoiled of-him
πραγμάτων καὶ τῶν διαμεμερισμένων ὑπηρετῶν γραφαὶ τοῦ
goods and of-the divided servants letters of-the
σουλτάνου, εἰ καὶ εἰς μάτην, γεγένηνται, ἵν' ἐπισυναχθεῖεν
sultan if even in vain were-made that might-be-gathered
τὰ πάντα καὶ πάντες καὶ ἐπικομισθεῖεν αὐτῷ.
the(-things) all and all and might-be-brought to-him
Ἐπεὶ δὲ ἐπὶ ξυροῦ ἀκμῆς τὰ τῆς μάχης σφίσιν
when and on razor's edge the(-affairs) of-the battle to-them
ἐφίστατο — οἵ τε γὰρ Ταχάριοι τὰ πλείω τῆς
stood the both for Tachars the most of-the
χώρας τῶν Μουσουλμάνων λῃϊσάμενοι περὶ τὰ Ἄξαρα
land of-the Muslims having-plundered about — Axara
ἐστρατοπεδεύσαντο, πᾶσα δὲ ἀνάγκη ἦν καὶ πρὸς
encamped all and necessity was also for
μάχην τοὺς Πέρσας ἀντιστῆναι τοῖς Ταχαρίοις — τὸν
battle the Persians to-stand-against the Tachars —
μὲν Κομνηνὸν Μιχαὴλ εἰς ἡγεμόνα τῶν Χριστιανικῶν
indeed Komnenos Michael as commander of-the Christian
στρατευμάτων οἱ Πέρσαι εἶναι διετάξαντο. ὁ δὲ ἐπεὶ ἐν
armies the Persians to-be appointed he but since in
ἀλλοδαπῇ ἐτύγχανεν ὤν, συμμαχεῖν μὲν Μουσουλμάνοις
foreign-land he-was being to-fight-alongside indeed Muslims
ἀπευκταῖον ἡγεῖτο, μή ποτε, ὡς ἔφασκεν οὗτος, ἐν μάχῃ
abominable he-thought lest ever as he-said he in battle

πεσόντος εὐσεβὲς αἷμα αἵμασι συγκραθείη ἀνοσίοις καὶ
having-fallen pious blood with-bloods might-be-mixed unholy and
ἀσεβέσι, χάριτι δὲ θείᾳ ἀναρρωσθεὶς καὶ γενναῖον
impious by-grace but divine having-been-strengthened and noble
ἀναλαβὼν φρόνημα πρὸς τὴν μάχην ἐξώρμησε. τὸ μὲν οὖν
having-taken-up spirit for the battle set-out the indeed then
μέρος τοῦ στρατεύματος τὸ παρὰ τοῦ Κομνηνοῦ Μιχαὴλ
part of-the army the(-one) by — Komnenos Michael
τεταγμένον τοὺς ἀντιτεταγμένους αὐτῷ Ταχαρίους κατὰ
arrayed the arrayed-against him Tachars by
κράτος νενίκηκε, τοῦ Μιχαὴλ αὐτοῦ πρώτως δόρατι παρὰ
force conquered — of-Michael himself first with-spear by
μαζὸν βαλόντος τὸν τοῦ στρατεύματος προηγούμενον, ὅς,
breast having-struck the of-the army leader who
καθάπερ ἔφησαν οἱ γινώσκοντες, μετὰ μικρὸν ἐκ τῆς
as said the(-ones) knowing after a-little from the
βολῆς ἐτεθνήκει. καὶ ἦσαν μὲν ἐκ τοῦ κρατουμένου μέρους
blow had-died and were indeed from the held part
τοῦ Κομνηνοῦ ἐκνενικημένοι οἱ Ταχάριοι καὶ πρὸς φυγὴν ἤδη
— of-Komnenos defeated the Tachars and to flight already
ἐχώρουν. ἀνὴρ δέ τις τῶν ἐν Πέρσαις περιωνύμων,
went man and some of-the(-ones) among Persians renowned
τὴν ἀξίαν ἀμυραχούρης — μέγα δὲ τοῦτο παρὰ Πέρσαις
the dignity amirachoures great and this among Persians
— ἀπιστίαν περὶ τὸ αὐτοῦ γένος ἐγκυμονῶν ἐκ μακροῦ
faithlessness toward the his-own race being-pregnant-with from long
τότε ταύτην ἐξώδινε, καὶ τὸ ὑφ' αὑτὸν ἅπαν συλλαβὼν
then it brought-forth and the under himself whole having-taken
στράτευμα τοῖς Ταχαρίοις προσώρμησε. καὶ τὸ ἐντεῦθεν
army against-the Tachars set-out and the from-this-point
τἀναντία ἦν ἰδεῖν· οἱ γὰρ πρὸ μικροῦ διώκοντες ἔφευγον
the-opposite was to-see the(-ones) for before little pursuing fled

καὶ νῶτα ἐδίδουν τοῖς ἐναντίοις πλήττεσθαι. ἔπιπτον
and backs gave to-the opponents to-be-struck fell
γοῦν οἱ Πέρσαι συχνοὶ τοῖς τῶν Ταχαρίων πληττόμενοι
then the Persians numerous by-the of-the Tachars being-struck
βέλεσι. μέχρι μὲν οὖν μακρῶν διαστημάτων τὴν δίωξιν
missiles up-to indeed then long distances the pursuit
οἱ νενικηκότες πεποίηνται. ὁ γοῦν Κομνηνὸς Μιχαὴλ
the(-ones) having-conquered made — then Komnenos Michael
συμβὰν οὕτω τῷ μεγίστῳ στρατοπεδάρχῃ τῶν Περσικῶν
having-met so the greatest stratopedarch of-the Persian
στρατευμάτων, ὃν πεκλάρπακιν οἴδασιν οἱ Πέρσαι καλεῖν,
armies whom beklarbaki know the Persians to-call
ξυνῄει κατὰ τὴν ὁδόν, καὶ ἐπορεύοντο πάνυ πλείους
came-together on the road and they-traveled very many
ἡμέρας ἐφεπομένους ἑαυτοῖς τοὺς πολεμίους ἔχοντες καὶ
days following them the enemies having and
καθ' ὥραν μαχόμενοι. ἐπεὶ δὲ ἡ τοῦ λεγομένου οἰκία
by hour fighting since and the of-the said(-man) house
πεκλάρπακι περὶ τὴν Καστάμοναν ἐτύγχανεν οὖσα, ἐκεῖσε
beklarbaki about — Kastamona happened being there
σπεύσαντες ἐγεγόνεισαν. τὸ δὲ Ταχαρίων γένος πᾶσαν τὴν
having-hastened they-had-come the and of-Tachars race all the
ὑπὸ τοὺς Μουσουλμάνους κατέδραμε χώραν. ἀλλ' ἐνταῦθα
under the Muslims overran land but here
μὲν ὁ περὶ τούτων λόγος ἀναμεινάτω, ἐχέσθω δὲ τῶν
indeed the about these account let-wait let-hold and to-the
προτέρων, ἵνα καὶ καθ' εἰρμὸν τὰ τῆς ἱστορίας προΐοι.
former(-things) that also in sequence the(-things) of-the history may-proceed
Ὁ μὲν οὖν βασιλεὺς Θεόδωρος ἐπεὶ περὶ τῶν 66
the indeed then emperor Theodore when about the(-things)
γεγενημένων ἐν τῇ τῶν Μουσουλμάνων ἐπύθετο χώρᾳ, οὐ
happened in the of-the Muslims learned land not

περὶ τούτων μᾶλλον ἔχων φροντίδα ἢ περὶ τῶν αὐτοῦ
about these rather having care than about the(-things) his-own
— κίνδυνον γὰρ οὐ σμικρὸν τοῖς Ῥωμαϊκοῖς ἐπισυμβαίνειν
danger for not small to-the Roman to-befall
ὑπετόπασε χώροις — ἔσπευσε πρὸς τὴν ἕω παλινοστῆσαι·
suspected lands hastened to the east to-return
καὶ δὴ πᾶσαν τὴν Ῥωμαϊκὴν στρατιὰν μεθ' ἑαυτοῦ
and indeed all the Roman army with himself
προσλαβὼν τῆς πρὸς τὴν ἕω φερούσης ἐφήπτετο.
having-taken the(-road) to the east leading took-hold-of
καταλελοίπει δὲ ἔν τε τῇ Θεσσαλονίκῃ καὶ τοῖς κατὰ δυσμὴν
had-left and in both — Thessalonica and the in west
μέρεσιν ὡς πρὸς φύλαξιν δῆθεν τῆς χώρας τὸν πρὸς
parts as for guards supposedly of-the land the on-the-side-of
πάππου θεῖον αὐτοῦ τὸν Λάσκαριν Μιχαήλ, μικρόν τι
grandfather uncle his — Laskaris Michael small some
καὶ εὐσύνοπτον ἐκ Παφλαγόνων στράτευμα ἐπιδοὺς αὐτῷ
and easily-surveyed from Paphlagonians army having-given to-him
κἀκ τοῦ Σκυθικοῦ ὅσον εἰς τριακοσίους ἠριθμημένον,
